ΓΑΛΗΝΟΥ

ΠΕΡΙ

ΜΥΩΝ ΑΝΑΤΟΜΗΣ

ΚΑΙ ΠΕΡΙ

ΕΘΩΝ ΒΙΒΛΙΑ.

GALENI
DE
DISSECTIONE MUSCULORUM
ET DE
CONSUETUDINE LIBRI.

AD FIDEM

CODICUM MANUSCRIPTORUM

ALTERUM SECUNDUM, PRIMUM ALTERUM

GRAECE EDIDIT

Fridericus Reinhold Dietz
MED. DOCTOR
EJUSDEMQUE IN UNIVERSITATE PRUSSORUM ALBERTINA
PROFESSOR EXTRAORDINARIUS.

LIPSIAE.
SUMPTIBUS LEOPOLDI VOSSII.
MDCCCXXXII.

87.

VIRO

CELEBERRIMO, ERUDITISSIMO,

INGENIOSISSIMO,

CAR. ASMUNDO RUDOLPHI

PHIL. ET MED. DOCT. ANATOM. ET PHYSIOLOG. IN UNIV.
BEROLIN. PROF. P. O. ETC. ETC.

HOSCE GALENI LIBROS

PER SAECULA GRAECE DESIDERATOS

OBSERVANTIAE MEAE TESSERULAM

RECENS EX ITINERIBUS

DICO.

Praefatio.

Spoliis onustus bibliothecarum Germaniae, Italiae, Hispaniae, Galliae, Britanniae, quas per hoc quinquennium eo consilio indefesse excussi, ut quae in libris manuscriptis ad textum librorum Hippocratis et genuinorum et eorum, qui sub ejus nomine circumferuntur, refingendum atque expoliendum negligentiores nobis per manus tradiderant hominum aetates colligerem, quae jam dudum deperdita credebantur medicorum graecorum opera, adnuente fortuna, detegerem, quae nondum typis nec graecis nec latinis vel latinis tantum mandata erant eorundem volumina, ita saeculorum situ obsita, ut tineis blattisque corrosa, sedulo transscriberem, priusquam aut penitus interirent aut justo nimis evilescerent, in patriam redux sum factus. Felicior, amplior quam spe-

rare erat licitum, mihi obtigit messis. Gratulor orbi literarum universo de apparatu critico undecunque summo cum labore summoque peculioli mei dispendio conquisito, quo veterum medicorum Graecorum libri scriptorum incuria inscitiave totiens corrupti et mutilati in pristinam formam restituentur, quantum ejus fieri poterit pro fontium tum numero tum auctoritate; gratulor patriae meae, quae literarum artiumque omnium munificentissima fautrix studia mea, quamvis abjecta nostraeque aetati minus consentanea haberentur, in tot exterarum nationum urbibus instituenda tamque perdiuturnis sumptuosisque itineribus prosequenda et consummanda libentissime fovit animumque inceptorum difficultate saepius depressum missis viaticis iterum erexit novaque spe refocillavit, me omni exspectatione prosperiores successus pusillo animo orsis dedisse, ad Siculas usque Gaditanasque oras maritimas procedere potuisse, ne quem inexploratum intactumque relinquerem Europae cultioris angulum, quo Graecos libros abditos distractosque esse ex Graecarum literarum naufragio fama ferret. Undecies credidi schedulas meas maribus litoraque meridionalis Hispaniae legens in fragilibus cercuris depösui apographa mea. Perrepsi Carpetanos, Cordubenses, Hispalenses, Granatenses, Malacitanos montes, sicariorum latronumque insidiis infames, continuo excruciatus ti-

more, ne non ita vitam, quod rarius accidere solet, ut chartarum mearum ex Italia advectarum ingentem molem Josephi Mariae, (Don José Maria) audacissimi latronum in illis partibus capitis, inexspectata incursione perderem annorumque labores in incuriosas librorum scriptorumque manus pecuniaeque numeratae tantum avidas inciderent mularumque clitellis impositi auferrentur. Averruncavit hanc calamitatem, avertit hanc jacturam Aesculapius. Omnia mea mecum porto. Sospes ipse redeo.

Hippocratis operum codices, quotquot in celeberrimarum Europae bibliothecarum scriniis sunt repositi, excussi cunctos; septem librorum medicinae parentis interpretatores Graecos nondum in lucem protractos transscripsi integros: transscripsi Oribasii parabilium medicamentorum (*Εὐποϱίστων*) quattuor libros, Synopsin novem comprehensam libris, collectionum medicarum (*συναγωγῶν ἰατϱικῶν*) omnes, qui supersunt, libros; libri vigesimi primi et secundi *συναγωγῶν*, qui feminarum infantiumque victus rationem tradunt, plurima capita primus detexi; transscripsi Aetii partem alteram, collata priore cum Mss. ab Aldo impressa parte, Actuarium, Chemicorum Graecorum volumina, et materia et sermone nova, ex optimis ad unum omnes auctores libris manuscriptis et apographa cum reliquis contuli optimis codi-

cibus: detexi Sorani Ephesii opus de arte obstetricia morbisque mulierum praestantissimum: contuli antiquissimum genuini Dioscoridis graecum Codicem cum versione Stephani Syri arabica ab Isaaco Honeino emendata, Oribasii libris XI—XIII, qui epitomen continent Dioscoridis, quae vulgatis meliora ex his fontibus hausi corollarii loco additurus; Vindobonenses enim duo codices, venerandae raraeque in profanis scriptoribus licet sint antiquitatis, quorum ope Illustrissimus Sprengelius nuperrime novam Anazarbaei herbarii editionem paravit, Dioscoridem in usum pharmacopolarum et seplasiariorum contractum, secundum literarum ordinem retractatum barbarisque medicamentorum synonymis nominibus inquinatum continent cautissime textui restituendo adhibendi; contuli Paulum Aeginetam cum recensione a ceteris codicibus diversa melioreque vulgatique textus duobus antiquissimis codicibus: transscripsi Aphorismorum Hippocratis arabicam Honeini versionem ex quinque codicibus, ut quae versiones arabicae in textum librorum graecorum emaculandum conferrent, optimo quasi exemplo probaretur: contexui medicorum Arabum historiam ex ipsorum fontibus ad id locorum inaccessis petitam; congessi supellectilem criticam Rupho Ephesio, Erotiano, Nicandro, Theophilo, Simeoni Seth, aliis. Quid multa?

Jamjam sum accinctus ad Ruphi Ephesii Oribasiique opera, quae extant, ex plurium eorumque optimorum codicum auctoritate edenda itaque hoc ipso anno volvente inchoandam corporis medicorum Graecorum novam seriem, quae Ruphum Ephesium, Oribasium, Aetium, Paulum Aeginetam, Actuarium, auctores ex majori parte graece ineditos, alios et graece et latine prorsus ineditos, quandoque ne nomine quidem inauditos, amplectatur, ad unum omnes uberrimo apparatu critico instructos. Et moliebar quidem jam his *primis* post reditum in patriam a me in lucem missis pagellis indicem accuratum scriptorum operumque praefigere, quibus peregrinabundus per quinque annos operam navaveram. At repudiavi hoc consilium suo tempore exsequendum prae metu, ne haec praefatio in nimiam excresceret molem eamque ipsam propter causam male componeretur cum his Galeni libris, quorum primum tribus annis abhinc (1829) e codice Ambrosiano a me transscriptum vereque proximi anni cum codice Escorialensi collatum eodem anno Lipsiae in Volum. XVIII. 2. Corpor. med. graec. e solo codice Parisiensi primum graecis typis expressum esse comperi, Parisiis quum commorarer. Id mihi causae fuit, cur hoc de musculorum dissectione opusculum seorsum ab aliis quibusdam libris graece adhuc ineditis et propediem prelo tradendis, qui

ad Pergamenum pertinent medicum, edere constituerem, majori hanc opellam, quantulacunque est, pretio fore ratus, si subnecterem alterum Galeni librum de consuetudine, qui primum graece hic prodit, ex unico codice Florentino exscriptum. Itaque ad fidem codicum recensui utriusque libri textum graecum, versionem latinam adjungere supersedi, quum qui graeca legere nollent, versionem alibi adire facile possent, paucas interserui notulas musculis definiendis idoneas. Namque paulum tantum otii mihi suppetebat Berolini huic labori dicandum, quum omni festinatione properare juberer ad recens mihi concreditum munus professoris extraordinarii obeundum Regimontii Prussorum, patria urbe, et ad scholae, quae ibi est, clinicae praefecturam secundariam suscipiendam pro desiderio votoque mihi ad eum potissimum finem oblatam, ut morborum naturae investigationem eorumque curam studio antiquissimorum artis medicae monimentorum ejusque historiae vicissitudinum haud sine concordia jungi posse junctisque his studiis medicinam, omnium nobilissimam artem, ex operarum πολυπραγμονεστάτων servitudine ineptiisque philosophorum liberatam ad antiquam gloriam pristinosque honores iterum evehi posse pro virili probare conarer.

Librum de musculorum dissectione in usum tironum esse compositum atque ad Lyci Macedo-

nis in hac anatomiae parte auctoritatem infringendam fusisque ejusdem operibus fidem derogandam, ipse Galenus in prooemio libri nostri auctor est et in Adm. anat. I. 3. *γέγραπται δ' οὐ πρὸ πολλοῦ καὶ ἡ τῶν μυῶν ἀνατομὴ καθ' ἑαυτὴν, ἀναγκασάντων μὲν τῶν ἑταίρων, ὅπως ἔχοιεν ἀποδημοῦντες ὑπομνήματα· μάλιστα δέ με προὔτρεψαν ἰδίᾳ γράψαι τὴν ἀνατομὴν ταύτην αὐτὴν καθ' αὐτὴν, ἐπειδὴ Λύκου τι σύγγραμμα νῦν ἡμῖν ἐκομίσθη, μικροῦ δεῖν εἰς πεντακισχιλίους στίχους ἐκτεταμένον, ἐν τοῖς πλείστοις αὐτῶν ἐσφαλμένον ἄχρι καὶ τοῦ παραλελεῖφθαι μῦς οὐκ ὀλίγους. ἀλλὰ τό γε ἡμέτερον, ἐν ᾧ τὴν ἀνατομὴν αὐτὴν πεποιήμεθα, μεγέθει μὲν ὡς τρίτον ἐστὶν ἴσως μόριον, ἅπαντας δὲ τοὺς μῦς διδάσκει μετὰ τοῦ καὶ προσεπιμεμνῆσθαι τοῦ Λύκου, πολλῶν μὲν μυῶν ἐνεργείας ἀγνοήσαντος, ἐνίας δ' ὅλως παρελθόντος.* Lyci autem libri post ejus tandem obitum celebritatem apud Graecos nacti sunt. Adm. anat. IV. 7. *ὁ Λύκος οὗτος, οὗ νῦν εἰς τὸ μέσον ἥκει τὰ βιβλία μετὰ τὸν θάνατον.* IV. 10. *αὐτὸς ὁ Λύκος, οὗ νῦν ἐκομίσθη τινὰ τῶν ἀνατομικῶν βιβλίων, ὃν οὐκ ἐθεασάμην μὲν ἐγὼ ζῶντα, καίτοι πᾶσι τοῖς Κοΐντου μαθηταῖς συγγενόμενος, καὶ μήθ' ὁδοῦ μῆκος ὀκνήσας μήτε πλοῦν. ἀλλ' οὐκ ἦν ὄνομα Λύκου παρὰ τοῖς Ἕλλησιν, ἡνίκ' ἔζη· νυνὶ δ' ἀποθανόντος αὐτοῦ βιβλίων τινὰ*

περιφέρεται σπουδαζόμενα. Huc accedit, quod hic liber Galeno iteratis vicibus memoratur, ut de libr. propr. 3. art. med. 37. in catalogo huic libro subdito. Legitimum igitur esse Galeni foetum, extra omnem dubitationem est positum. Vesalius autem, in perstringenda Galeni anatomia copiosissimus auctor, nunquam hunc librum paucis libris manuscriptis servatum conspexit. Vide huj. edit. p. 76. Alterius de consuetudine libelli originem genuinam immerito in dubium vocavit Joan. Bapt. Montanus. Allegatur enim ab ipso Galeno in Comment. ad Aphoris. II. 50. ἐπιδέδεικται γὰρ τοῦτο ἡμῖν ἐν τῷ περὶ ἐθῶν βιβλίῳ et genere rationeque dicendi refert Galenum.

Restat, ut de apparatu meo critico, quem ad hos libros recensendos adhibui, paucis moneam. Primus detexi Mediolani in bibliotheca Ambrosiana, ubi vir humanissimus, qui ipso nomine suo animi dotes testatur, Bentivoglio, bibliothecae praefectus, mihi permisit, ut Aristotelis ejusque interpretatorum codices, cum medicis scriptoribus saepissime eodem volumine conjunctos ideoque in catalogo Ambrosiano nec rebus nec nominibus distinctos, examinarem, in cod. Q. 87. bombycino saec. XIV. Galeni de musculorum dissectione librum absque titulo post Nicephori Gregorae, Porphyrii, Aristotelis, Euclidis et Hermogenis opera aliquot exordientem, fine mutilum, lacunosum, id

quod antiquioris cujusdam codicis esse apographum luculentissimum est testimonium. Postrema hujus codicis folia praeter nostri libri fragmenta alia quaedam continent ex libro Galeni de ossibus, ex Dioscoride et Paulo Aegineta congesta. Alterum vero codicem in bibliotheca S. Laurentii Escorialensi inveni, quum codices omnium linguarum ut singillatim pervolutarem, insigni patris bibliothecarii Domini Francisci de Campos, nunc Talaverae reginae (Talavera de la Reyna) Episcopi, favore obtinerem, Hippocratis operi *περὶ ἑβδομάδων* intentus ibi reperiundo, quod deperditum habetur. Complectitur [1] codex Escorialensis II. 3. 7. membranaceus saec. XII. Galeni libros de ossibus, (bis) de musculorum, venarum arteriarumque, nervorum dissectione, de motu musculorum, Oribasii epitome e libris anatomicis Galeni operibus interserta. Codex denique tertius Parisiensis 2219. bombycinus, e nosocomio S. Joannis et Pauli Veneto Parisios allatus inde a folio

---

[1] Est transenna ferrea in bibl. Mss. alta S. Laurent. Escorialensi, cujus laevâ graecorum codicum pluteos ab introitu statim positos numeravi. v. c. Plut. II. seriei tert. Cod. septimus. Haenelius enim in Catalogo suo antiquatum hujus bibliothecae catalogum, cujus exemplaria Mediolani, Matriti, Toleti, Oxoniae, Lugduni Batavorum, alibi servantur, fidenter secutus est, cujus signis libri Mss. non amplius insigniuntur pluresque in eodem dimidio omnium numero prorsus omittuntur.

124—140 Galeni myologiam comprehendit. E quo codice, qui [1] Charterii tempore nondum Parisiis fuisse videtur, probabiliter vertit Gadaldinus hunc librum marginique lectiones variantes ex Oribasio plerasque sumtas adscripsit. Accuratius vero hos codices descripsissem, nisi catalogum omnium codicum, qui ad medicinam graecam spectant, quosque ipse aut adhibui aut pervolutavi, eumque criticum publici facere juris mihi esset consilium. Galeni de consuetudine liber in unico Florentino codice Plut. LXXV. cod. 7. adhuc extat; nusquam enim gentium vidi alterum.

Scribebam Berolini d. XX. Jul. mens.
MDCCCXXXII.

---

[1] Chart. in edit. Galen. IV. p. 710. „Quum graecus textus Galeni libri de musculis boni publici negligentia nobis non suppetat; — quodsi ab Italia genuinum Galeni codicem jam diu exspectatum habuerimus, eum hercle ut et ceteros omnes nos typis mandaturos esse pollicemur.“

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΜΥΩΝ ΑΝΑΤΟΜΗΣ [1] ΤΟΙΣ ΕΙΣΑΓΟΜΕΝΟΙΣ.

Μυῶν ἀνατομὴν ἀμέμπτως μὲν οὐδεὶς [2] ἔγραψεν, ἀκριβέστερον δὲ [3] μᾶλλον Μαρῖνος τῶν ἄλλων. ἀλλ' ἐπειδὴ μήτε δι' ἑνὸς βιβλίου, μήθ'

Sigla codicum.

A. Codex Ambrosianus, bombycinus una cum parte chartacea, ex insula Chio advectus, olim Michaelis Sophiani. Saec. XIV et XV. 4to.

E. Codex Escorialensis, membranaceus, 151 foliorum. Saec. XII. 4to. Hunc codicem inter tres hujus Galeni de musculorum dissectione ad tirones libri adhuc, quod sciam, superstites antiquissimum presse sequor.

P. Codex Parisiensis, bombycinus, 144 foliorum. Saec. XIV. 4to. ex altero codice et Oribasio emendatus, quem de Mercy Kuehnio Galenum edituro transscripsit.

G. Codex Gadaldini, ex quo hunc librum in latinum transtulit sermonem.

O. Oribasius in libris anatomicis secundum Galenum.

[1] τοῖς εἰσαγομένοις omisit A., vertit Gadaldinus. [2] ἔγραφεν A. [3] μᾶλλον om. A. μὲν addit P. τῶν ἄλλων Μαρῖνος A.

ἑξῆς ὑπὲρ ἁπάντων διῆλθεν, [1] εὐδοκίμησεν εἰκότως ἡ [2] τοῦ Πέλοπος καὶ ἡ τοῦ Λύκου καὶ Αἰλιανοῦ τῶν μυῶν ἀνατομή. ὁ μὲν οὖν [3] Πέλοψ ἐν τῇ τρίτῃ τῶν Ἱπποκρατείων εἰσαγωγικῶν [4] ἅμα τοῖς ἄλλοις [5] ἅπασι [6] μέρεσι καὶ τοὺς μῦς ἀνέτεμεν· ὁ δὲ Λύκος ἓν μέγιστον βιβλίον [7] ἐγράψατο περὶ αὐτῶν· [8] Αἰλιανὸς δὲ κατὰ τὴν βίβλον, ἣν ὥςπερ ἐπιτομὴν ἐποιήσατο τῶν τοῦ πατρὸς ἀνατομικῶν συγγραμμάτων ἅμα τοῖς ἄλλοις [9] ἅπασι μορίοις καὶ αὐτὸς ἔγραψε τὴν τῶν μυῶν ἀνατομήν. ἐμηκύνθη δὲ τὸ τοῦ Λύκου βιβλίον, ὅτι τε μακρότερον ἑρμηνεύει πάντα καὶ ὅτι [10] λογικὰς [11] ἀνέμιξε ζητήσεις τοῖς ἐξ ἀνατομῆς φαινομένοις· ἔτι τε πρὸς τούτοις, ὅτι περὶ παθῶν ἐποιήσατο λόγους πολλούς, ὧν ἔνια κατ' οὐδὲν [12] ᾠκείωτο ταῖς τῶν μυῶν ἀνατομαῖς. Αἰλιανὸς [13] μέντοι καὶ Πέλοψ μόνα τὰ φαινόμενα διῆλθον, ἅπερ οὐχ ἥκιστα κἀγὼ νῦν ἔγνωκα [14] γράψαι. περὶ [15] μὲν γὰρ τῆς κινήσεως τῶν μυῶν ἑτέρωθι διὰ δυοῖν ὑπομνημάτων εἴρηταί μοι, περὶ δὲ τῆς χρείας ἅμα τοῖς ἄλλοις ἅπασιν ἐν τῇ μεγάλῃ πραγματείᾳ τῇ περὶ [16] τῆς χρείας μορίων. καὶ μέντοι καὶ ὡς ἄν τις [17] μάλιστα καὶ κάλλιστα [18] γυμνώσειεν οὐ τοὺς

---

[1] εὐδοκίμη pro εὐδοκίμει A. [2] τε A. [3] Πέλωψ A. [4] ἐν A. [5] ἅπασι om. A. [6] μέλεσι A. [7] ἔγραψε P. [8] ὁ δὲ P. [9] ἅπασι om. A. [10] ὅτι τε A. [11] ζητήσεις ἀνέμιξε A. P. [12] ᾠκείωται A. P. [13] δὲ P. [14] πρᾶξαι P. [15] μὲν om. A. [16] τῆς om. A. P. [17] μάλιστα καὶ om. A. P. G. [18] γυμνάσειεν P. se exerceat. G.

μῦς μόνον, ἀλλὰ καὶ τὰ ἄλλα πάντα τοῦ ζώου μόρια, διὰ τῶν ἀνατομικῶν ἐγχειρήσεων λέγεται, ὅθεν [1] οὐδὲ [2] προῃρήμην [3] ἰδίᾳ τι γράψαι περὶ μυῶν ἀνατομῆς. ἀλλ' ἐπειδὰν εἰς ἓν ἀθροίζω πάντα τὰ κατὰ τὰς ἀνατομὰς ὑφ' ἡμῶν [4] εὑρημένα, τηνικαῦτα καὶ τὰ παραλελειμμένα τοῖς ἔμπροσθεν ἰατροῖς [5] ἢ μὴ καλῶς [6] εὑρημένα περὶ μυῶν ἐγνώκειν δηλῶσαι· τῶν δ' [7] ἑταίρων ἔνιοι γυμνάζεσθαι βουλόμενοι καθ' ἑαυτούς, ὑπομνήσεις [8] τινὰς ἔχειν [9] ἠξίωσαν, ὧν ἐθεάσαντο δεικνυμένων [10] ὑπ' ἐμοῦ, καὶ τοῦτο ἠνάγκασάν με γράψαι τὸ βιβλίον, [11] ᾧ τὰ μὲν φαινόμενα πάντα κατὰ τὴν ἀνατομὴν τῶν μυῶν [12] ἐκδιδάσκω· ὑπὲρ δὲ τῆς ἐνεργείας ἀπόδειξιν μὲν οὐδεμίαν [13] ἔχω, [14] ἀναμιμνήσκω δὲ τὰ κεφάλαια τῶν ἐν ἑτέροις ἀποδεδειγμένων· ἐπιμνησθῆναι δέ [15] με καὶ [16] εἴ τι παρέλιπεν ἢ οὐκ ἀκριβῶς εἶπεν ὁ Λύκος ἠξίωσαν, ἐπειδὴ σαφέστατά τε καὶ κάλλιστα πάντων οὗτος ἀνατετμηκέναι

---

[1] οὐδὲν P. [2] προῃροίμην A. P. [3] ἴδια E. [4] εἰρημένα P. [5] εἰ μή P. [6] εἰρημένα P. [7] ἑτέρων E. P. in textu. Codicis Parisiensis lectiones margini adscriptae, ut in hoc loco ἑταίρων, ex altero codice sunt depromptae. Saepius enim textus lacunas explent mendaque graviora emendant. [8] τε τινας A. [9] ἠξίωσαν om. A. [10] παρ' ἐμοῦ P. ὑπ' αὐτοῦ E. [11] ὧν codices omnes. Conjeci ᾧ sive ἐν ᾧ, quod Gadaldinus expressit. [12] ἐκδιδάσκων A. ἐκδιδάσκειν E. [13] ἔχων A. E. [14] ἀναμιμνήσκων A. E. [15] μοι A. [16] τῶν ἤδη A. τῶν εἴ τι P.

μῦς πεπίστευται· ἃ μὲν οὖν ἐπαγγέλλεται τὸ γράμμα, ταῦτά [1] ἐστιν· ἤδη δὲ ἐπὶ [2] τὴν διέξοδον αὐτῶν [3] βαδιοῦμαι.

Ὅστις ἐθέλει γυμνάζεσθαι περὶ τὴν τῶν μυῶν ἀνατομὴν, ἐν ὕδατι πνίξας πίθηκον [4] ἐκδειράτω πρότερον αὐτὸν, ὡς ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι λέγεται. πολλοὶ γὰρ [5] εὐθὺς ἐν τούτῳ διαμαρτάνουσι τοῖς ἐπιτυχοῦσιν ἐπιτρέποντες τὸ ἔργον. οὗτοι δὲ καὶ ἄλλα μὲν πολλὰ διασπῶσι καὶ συγχέουσιν [6] οὐ μόνον διὰ τὴν ἀμαθίαν, ἀλλὰ καὶ διὰ τὸ μὴ ἔχειν ὄργανον ἐπιτήδειον, [7] ὥςπερ οὐχ ἥκιστα καὶ τὸν ὑπὸ [8] τῷ δέρματι [9] τοῦ τραχήλου λεπτὸν καὶ πλατὺν μῦν, ὃν εἴ τις οὐκ ἐθέλει μῦν ὀνομάζειν, ἀλλὰ μυώδη γε φύσιν [10] ἢ οὐσίαν ἢ ὅπως ἄν τις βούλοιτο καλεῖν, οὕτω προσαγορευέτω. [11] ἄρχεται δὲ ὁ μῦς [12] οὗτος ἔμπροσθεν μὲν ἐκ τῶν κατὰ [13] τὰ χείλη καὶ τὰς γνάθους χωρίων, ὄπισθεν δὲ ἐκ τῶν κατὰ ῥάχιν, ὑποτεταμένος ἐν κύκλῳ παντὶ τῷ περὶ τὸν τράχηλον δέρματι, λεπτὸς καὶ ὑμενώδης ὑπάρχων, ὥςτε καὶ διὰ τοῦτο λανθάνειν καὶ [14] ὑμὴν

---

[1] εἰσιν P. [2] ἐπὶ τῶν διεξόδων P. ἐπὶ τὴν ἔξοδον A. [3] βαδιοῦμεν P. [4] ἐκδοράτω A. Adm. anat. II. 2. [5] ἐν τούτοις εὐθὺς A. ἐν τούτοις P. [6] οὐ μόνον — ἐπιτήδειον om. A. P. habet Escorialensis codex solus. [7] ἅπερ E. [8] τὸ δέρμα E. [9] In margine P. περὶ τραχήλου additur ut titulus. [10] ἢ οὐσίαν om. E. [11] ἄρχει E. [12] οὕτως E. [13] τὰ om. E. [14] ὑμῖν E. Gal. Admin. anat. III. 2. ὑμένα adpellat hunc musculum, quem latissimum colli sive subcutaneum (peaus-

μᾶλλον [1] ἢ μῦς εἶναι [2] δοκεῖ, μέχρι περ ἂν ὁμοῦ τῷ δέρματι βλέπηται· χωρισθεὶς δὲ ἀπ' αὐτοῦ κατάδηλος γίγνεται. ἄρθρον δὲ οὐδὲν ὑπὸ τούτου [3] κινεῖται τοῦ μυός, ὅτι [4] μηδ' ἐμπέφυκεν εἰς ἄρθρον, ἀλλὰ [5] τὰς γνάθους καὶ τὸ δέρμα [6] κινεῖ μόνον ᾧ συμπέφυκεν. ἔστι δὲ καὶ πρὸ τῆς ἀνατομῆς ἡ κίνησις αὐτοῦ σαφὴς ἐφ' ἡμῶν αὐτῶν, ἐπειδὰν ἀπάγειν ἀλλήλων εἰς [7] τὰ πλάγια τὰς γνάθους βουληθῶμεν ἄνευ τοῦ κινῆσαι τὴν κάτω γένυν καὶ [8] διανοῖξαι τὸ στόμα. καὶ τοῖς σπασθῆναι δὲ μέλλουσιν οὗτος ὁ μῦς πρῶτος ἐντείνεται, καὶ οἱ κυνικοὶ καλούμενοι σπασμοὶ τούτου μάλιστα πάθος εἰσίν. ὀνομαζέσθω δὲ ὑφ' ἡμῶν [9] ἕνεκα σαφοῦς διδασκαλίας μυῶδες πλάτυσμα. περιβέβληται μὲν οὖν παντὶ τῷ τραχήλῳ, [10] καταφέρεται δὲ πρόσω μὲν ἄχρι τῶν κλειδῶν, ἑκατέρωθεν δὲ κατὰ τὰς [11] τῶν ὠμοπλατῶν ῥάχεις ἄχρι τῆς ἀρχῆς τοῦ μεταφρένου· τὸ δὲ μεταξὺ ταύτης τε τῆς καταφύσεως καὶ τῆς κεφαλῆς, ὑμενῶδες ὑπάρχον, [12] ὄρθιον διὰ μέσης [13] τέταται τῆς κατὰ τὸν τράχηλον ἀκάνθης. τουτὶ μὲν οὖν τὸ σῶμα τοῖς ἀνατομικοῖς ἠγνόηται, κακῶς ἐκ-

---

sier) hodie vocamus. Vesal. de corp. hum. fabr. II. 5. panniculum carnosum nominat.

[1] εἰ E. [2] δοκεῖν A. [3] κατακεῖται P. [4] μηδὲ πέφυκεν E. μηδὲν ἐκπέφυκεν P. [5] κατὰ τὰς E. [6] κινεῖν A. [7] τὸ πλάγιον A. [8] διοῖξαι A. P. [9] ἕνεκεν P. [10] καταφαίνεται A. [11] τῶν om. P. [12] ὄρθριον A. [13] τέτακται A.

δερομένου τοῦ ζώου. ἐμοὶ δὲ ἂν εἴη καιρὸς ὑπὲρ τῶν κατὰ τὸ πρόσωπον [1] μετέρχεσθαι μυῶν.

β. Περὶ τῶν κατὰ [2] πρόσωπον μυῶν [3] καὶ τῶν κατὰ χείλη.

Οἱ μὲν [4] τῶν χειλῶν μύες, οἵπερ δὴ καὶ ἀκριβῶς ἀναμίγνυνται τῷ [5] τούτων δέρματι, τέσσαρές εἰσι τὸν ἀριθμὸν, ἐκ μὲν τῶν [6] ἄνω μερῶν εἷς ἑκατέρωθεν, [7] ἀπὸ τῶν μήλων [8] καταφερόμενοι λοξοὶ, ἐκ δὲ τῶν κάτωθεν ἀπὸ τῆς γένυος ἄκρας, ἵνα πέρ ἐστι τὸ καλούμενον γένειον, εἷς κἀνταῦθα καθ' ἑκάτερον μέρος, ὁ μὲν ἐκ τῶν δεξιῶν, ὁ δὲ ἐκ τῶν ἀριστερῶν. εἰ μὲν δὴ ἀμφότεροι ταθεῖεν οἱ [9] ἄνωθεν, ἀνασπᾶται τὸ ἄνω χεῖλος· εἰ δὲ ὁ ἕτερος μόνος, παρασπᾶται [10] πρὸς ἐκεῖνον. οὕτω δὲ καὶ τῶν κάτωθεν ἀμφοῖν μὲν ταθέντων, κατασπᾶται τὸ χεῖλος τὸ [11] κάτωθεν θατέρου δὲ [12] μόνου, παρασπᾶται. περὶ δὲ τῆς εἰς τὰ πρόσω κινήσεως τῶν χειλῶν, ὑπὲρ ἧς οὐδ' [13] ἐπεμνήσθησαν ὅλως οἱ ἀνατομικοὶ, δι' ἑτέρου λεχθήσεται γράμματος, ἐν ᾧ καὶ περὶ

---

[1] ἤδη addit P. [2] τὸ P. [3] καὶ etc. P. Capitum titulos om. omnes A. habent E. P. [4] δὴ addit. P. [5] ταύτης E. ταύτῃ O. bene. [6] ἄνωθεν P. O. [7] δὲ A. [8] καταφερόμενος λοξὸς A. [9] ἄνω P. [10] τὸ χεῖλος add. P. [11] κάτω A. P. O. [12] μόνον P. O. [13] ὑπεμνήσθησαν A.

τῶν ἄλλων [1] ἁπασῶν ἀπόρων κινήσεων [2] διέξειμι.

γ'. Περὶ τῶν κατὰ τὰ πτερύγια τῆς ῥινὸς μυῶν.

Δύο δὲ ἄλλοι μύες μικροὶ παντάπασιν ἄρχονται μὲν καὶ αὐτοὶ [3] κατὰ [4] μῆλα. καταφύονται δὲ εἰς τὸ καθ' [5] ἑαυτὸν ἑκάτερος τῆς ῥινὸς πτερύγιον [6] ἀνοιγνύντες αὐτήν. συστέλλεται δὲ ὑπ' οὐδενὸς μυὸς ἡ ῥὶς, ἀλλ' ὅταν οἱ προειρημένοι μύες ἐνεργοῦντες παύσωνται, τὴν μέσην τηνικαῦτα κατάστασιν λαμβάνει· ἐπέκεινα δὲ αὐτῆς ὑπ' οὐδενὸς ἀπάγεται μυὸς, ἀλλ' ἐν ταῖς σφοδροτέραις εἰσπνοαῖς τῇ ῥύμῃ τοῦ πνεύματος ἕπε-

---

[1] ἁπάντων A. [2] διέξειμι om. A.

Plures nobis circa labia cogniti sunt musculi quattuor hisce quos Galenus hoc capite persecutus est. Qui labium superius sursum trahunt, zygomatici sunt neque ipsi inter se distincti neque ab levatoribus propriis angulique oris distensi. Qui labium inferius deorsum trahunt, depressores sunt seu pyramidales seu triangulares menti cum quadratis menti confusi. Vesal. II. 13. Quem primum se postea invenisse dictitat πλατὺν μῦν (Admin. anat. IV. 12. et sqq.), hoc loco omisit idque recte, quum nihil aliud omnino sit quam ea pars latissimi colli, quae ad genas labiaque usque extenditur. Musculi orbicularis s. sphincteris oris nulla fit mentio.

[3] μετὰ A. P. κατὰ in mg. [4] τὰ P. [5] ἑαυτῶν E. [6] ἀναμιγνῦντες E.

ται τὰ πτερύγια. κάτω μέντοι κατασπᾶται τοῖς χείλεσιν [1] ἀκολουθοῦσα κατὰ [2] προσάρτησιν.

δ΄. Περὶ τῆς ὑπὸ τῷ δέρματι τοῦ μετώπου μυώδους φύσεως.

Καὶ μὲν δὴ καὶ τῷ τοῦ [3] μετώπου δέρματι μυώδης φύσις [4] ὑποτέτακται λεπτὴ [5] συμφυὴς αὐτῷ καὶ [6] διὰ τοῦτο σύμπαν τὸ περὶ τὸ μέτωπον δέρμα κινεῖται, κἂν ἀκίνητος ἡ γένυς φυλάττηται.

ε΄. Περὶ τῶν κατὰ [7] τὸν ὀφθαλμὸν μυῶν.

Οἱ περὶ [8] τῇ βάσει μύες, εἴτε ἕνα τις αὐτὸν [9] εἶναι φήσειεν [10] εἴτε διπλοῦν ἢ τριπλοῦν εἴτε δύο ἢ [11] τρεῖς συμφυεῖς, εἰς τὸ στηρίζειν τὸν ὀφθαλμόν εἰσι χρήσιμοι, ἐπειδὰν μάλιστα κατ'

---

[1] ἀκολουθοῦντα A. [2] διὰ τὸν τοῦ μετώπου μῦν addit E., omisso sequentis capitis titulo. Levatores alarum nasi labiique superioris Galenus descripsit; praetermisit compressorem narium et depressores alarum nasi, naturali remissioni illorum musculorum, inspirationi, labiique superioris appensioni horum vires tribuens. Adm. anat. IV. 4. [3] προσώπου A. [4] ἀποτίκτεται A. ὑποτέταται P. [5] συμφυὴς αὐτῷ om. A. lacunamque servavit. [6] διά om. P. Membrana frontis musculosa sunt musculi frontales. Vesal. II. 7. [7] τοὺς ὀφθαλμοὺς P. [8] περὶ τοῦ σει A. lacunae spatio interposito, ut οἱ περὶ τῇ τοῦ ὀφθαλμοῦ βάσει conjecissem, nisi E. et P. vetuissent. οἱ μὲν περὶ τὴν βάσιν P. ὁ μὲν περὶ τῇ βάσει P. in mg. O. [9] εἶναι om. E. [10] ἤτοι A. P. [11] καὶ addit P.

εὐθὺ βλέπειν ἀκριβῶς [1] εἰς σμικρὸν σῶμα δεηθῶμεν. οἱ δὲ ἄλλοι πάντες οἱ κινοῦντες αὐτὸν ἓξ τὸν ἀριθμὸν ὑπάρχουσιν, εὐθειῶν μὲν κινήσεων οἱ τέσσαρες ἐξηγούμενοι, δύο δὲ [2] λοιποὶ περιστρέφοντες ὅλον τὸν ὀφθαλμόν. ἀλλ' οὗτοι μὲν ἀπὸ τῶν κατὰ τὸν μέγαν κανθὸν ὁρμώμενοι χωρίων ἐπὶ τὸν μικρὸν ἀφικνοῦνται. τῶν δὲ ἄλλων τῶν τεσσάρων [3] μυῶν ὁ μὲν ἀνατείνειν αὐτὸν, ὁ δὲ καθέλκειν, ὁ δὲ τῇ ῥινὶ προσάγειν, ὁ δὲ ἐκτὸς ἐπισπᾶσθαι πέφυκεν [4] [ὡς ἐπὶ τὸν μικρὸν κανθόν.] ὅσοι δὲ ὥςπερ καὶ Λύκος [5] οὐχ ἕξ, ἀλλὰ πέντε νομίζουσιν εἶναι τούςδε τοὺς μῦς, ἁμαρτάνουσιν οὐ περὶ τὸν ἀριθμὸν [6] μόνον, ἀλλὰ καὶ τὴν τῶν ἐνεργειῶν γνῶσιν.

ϛ'. Περὶ τῶν [7] τὴν κάτω γένυν κινούντων μυῶν.

Τέσσαρες συζυγίαι [8] μυῶν τὴν κάτω γένυν κινοῦσιν, ἀνατείνοντες μὲν οἵ [9] τε κροταφῖται κα-

---

[1] τι P. O. [2] οἱ addit P. O. [3] μυῶν om. E. O. [4] Quae uncinis inclusi, om. A. E. O. expressit G. [5] οὐχ ἕξ om. A. [6] αὐτῶν addit P. Qui oculi bulbum firmat musculus, infundibuli seu crumenae modo posteriorem ejus partem circumplicans (choanoïde. Cuvier leçons d'anatomie comparée II. p. 426.), in homine simiisque desideratur. Vesalius fuse hunc musculum describit II. 11. Galenò, quem saepissime acriter perstringit simiarum canumque dissectorem, in hoc musculo confisus auctori. Reliqui sex musculi sunt quattuor recti ac duo obliqui. [7] τὴν om. P. [8] κατὰ loco μυῶν A. [9] τε om. E. O.

λούμενοι καὶ οἱ ἔνδον τοῦ στόματος, εἰς δὲ τὰ πλάγια παράγοντες οἱ κατὰ τὰς γνάθους, οὓς [1] μασσητῆρας ὀνομάζουσιν, ἀπὸ τῆς χρείας τοὔνομα θέμενοι· [2] κατασπῶσι δὲ οἱ λοιποὶ δύο. ἀλλ' οὗτοι μὲν στενοί [3] τέ εἰσι καὶ προμήκεις, ἀρχόμενοι μὲν ὄπισθέν τε καὶ κάτωθεν τῶν [4] ὤτων, διὰ δὲ τοῦ τραχήλου πρόσω φερόμενοι, κἄπειτα [5] εἰς ταὐτὸν ἀλλήλοις ἰόντες, ἵνα δὴ [6] καὶ καταφύονται τῇ γένυϊ, διανοίγοντες [7] αὐτὴν, ἐπειδὰν [8] ταθῶσιν. οὗτοι μόνοι συμπάντων μυῶν σαρκώδη [9] μὲν ἔχουσιν ἄμφω τὰ πέρατα, [10] τὸ μέσον δὲ ἀκριβῆ τένοντα. τῶν [11] δὲ ἄλλων τριῶν συζυγιῶν [12] εὐρώστων τε ἅμα καὶ μεγάλων οὐσῶν οἱ μὲν κροταφῖται καθήκουσιν εἴς τε τὰς κορώνας [13] τῆς ἄκρας γένυος εἰς ἑκατέρωθεν, εἴς τε τὴν γένυν αὐτὴν [14] παρὰ τὴν ἔκφυσιν τῆς κορώνης ἰσχυραῖς ἀπονευρώσεσιν ἐμφυόμενοι· [15] διὸ τήν τε γένυν ἀνασπῶσι καὶ κλείουσι τὸ στόμα. καὶ διὰ τοῦτο καὶ τούτους τοὺς μύας ἐνίοτε μασσητῆρας ὀνομάζουσιν οὐχ οἱ νεώτεροι μόνον, ἀλλὰ καὶ οἱ παλαιοὶ τῶν ἰατρῶν, ὥσπερ καὶ Ἱπποκρά-

---

[1] μασητῆρας E. [2] κατασπῶντες P. O. [3] τε om. A. [4] ὀστῶν P. [5] ἐπ' αὐτὸν P. in mg. O. [6] δὴ om. P. δὲ O. [7] αὐτὰ A. [8] καταταθῶσιν E. Biventres sunt musculi, quorum extremitates carnosae sunt, pars vero intermedia in tendinem exquisitum abit. [9] πλὴν A. [10] τὸν P. [11] δὲ om. A. [12] εὐῤῥώστων A. [13] ἄκρας τῆς P. O. [14] περὶ P. παρὰ in mg. [15] δι' ὧν A. P. O.

της. ἵνα δὲ πρῶτον [1] ἀποβλαστάνουσιν [2] αὐτῶν οἱ εἰρημένοι τένοντες, ἐγκάρσιον ὀστοῦν ἔξωθεν ἐπιβέβληται καὶ περιβέβληται [3] τὸ καὶ ζύγωμα προσαγορευόμενον.

ζ. Περὶ τῆς τρίτης συζυγίας τῆς κλειούσης.

Οἱ δ' ἐντὸς τοῦ στόματος μύες ἐπιβεβήκασι μὲν τοῖς πλατέσι [4] τε καὶ κοίλοις τῆς κάτω γένυος, ἀνατείνονται δὲ [5] ἐπὶ τὴν ὑπερώαν ἐμφυόμενοι τοῖς ἐνταῦθα κοίλοις ὀστοῖς, ἃ περιλαμβάνουσιν αἱ πτερυγώδεις ἐκφύσεις. ἔστι δὲ αὐτοῖς ἐνταῦθα καὶ τένων τις εὔρωστος· ὅλον δὲ τὸ πλάγιον μέρος τῶνδε τῶν μυῶν [6] τῆς κάτω γένυος συμπέφυκε τοῖς κροταφίταις. καὶ μέντοι καὶ τὴν αὐτὴν ἐνέργειαν ἔχουσιν αὐτοῖς ἀνασπῶντες ἐκ τῶν ἔνδον μερῶν τὴν κάτω γένυν. ἔνιοι μὲν [7] οὖν αὐτοὺς μέρος τι τῶν κροταφιτῶν εἶναι νομίζουσιν, ὥςπερ [8] καὶ Μαρῖνος, ἔνιοι δὲ ἀποχωρίζουσιν [9] ἰδίᾳ, καθάπερ Αἰλιανὸς καὶ Πέλοψ. ὁ Λύκος δὲ [10] ὅλως ἀγνοήσας αὐτοὺς ἐπιτιμᾷ τοῖς τέσσαρας εἶναι λέγουσι τοὺς κροταφίτας.

---

[1] ἀποβλαστάνωσιν A. E. [2] οἱ αὐτῶν P. [3] τὸ καὶ om. P. Quattuor hae syzygiae sive musculorum paria sunt temporales, pterygoidei accuratius sequenti capite illustrati, masseteres, biventres sive digastrici. Temporales cum masseteribus jam Hippocratem confudisse, repetit Admin. anat. IV. 2. καλεῖ μὲν οὖν καὶ τούτους τοὺς μῦς (τοὺς κροταφίτας) ὁ Ἱπποκράτης μασσητῆσας. Cf. Vesal. II. 15. [4] τε om. P. [5] ὑπὸ A. [6] τῆς κάτω γένυος om. P. [7] οὖν om A. P. [8] ὁ A. ὥσπερ Μαρῖνος P. [9] ἰδίως P. [10] ὅλως om. E.

η'. Περὶ τῶν μασσητήρων τῶν τριγώνων.

Οἱ λοιποὶ δὲ δύο [1] μύες ἔξωθεν μὲν ἐπιβέβληνται τῷ μήκει τῆς κάτω γένυος, παραφερόμενοί τε καὶ [2] καταφυόμενοι ταῖς [3] δυοῖν κεφαλαῖς αὐτῶν. πρός τε τὸ μῆλον ἀνατείνονται καὶ τὸ ζύγωμα, δύο κατ' ἀλήθειαν ὄντες ἑκατέρωθεν, [4] οὐχ εἷς. ἀλλήλων [5] γοῦν διαδέχονται τὴν ἐν ταῖς μασσήσεσιν ἐνέργειαν τε καὶ χρείαν, ὁ μὲν εἰς τὸ πρόσω τὴν γένυν κινῶν, ὁ δὲ εἰς τοὐπίσω· καὶ μὲν δὴ καὶ [6] εἰς τοὺς κροταφίτας οἱ μύες [7] οἵδε συμφύονται κατὰ τοῦ ζυγώματος ἔνδον.

θ'. Περὶ τῶν εἰς [8] τὴν ὠμοπλάτην [9] τῆς κεφαλῆς [10] ἐκφυομένων [11] μυῶν.

[12] Πρῶτον πάντων [13] ἀφαιρεθέντος τοῦ μυώδους πλατύσματος, ἐκ τοῦ κατὰ τὸ ἰνίον [14] ὀστοῦ τῆς κεφαλῆς ἐκφυόμενοι [15] φαίνονται δύο μύες ἀλλήλων ψαύοντες, εἷς ἑκατέρωθεν, ὁ μὲν ἐκ τῶν δεξιῶν [16] τοῦ ζώου μερῶν, ὁ δὲ ἐκ τῶν ἀριστε-

---

Anat. admin. IV. 6. καὶ γὰρ καὶ τῶν κινούντων τὴν γένυν μυῶν ὁ Λύκος παρέλιπε μίαν συζυγίαν τὴν ἔνδον ἐν τῷ στόματι.

[1] μῆνες A. [2] καταφερόμενοι P. [3] δύο P. [4] καὶ οὐχ P. [5] γὰρ P. οὖν A. [6] εἰς om. A. [7] οὗτοι P. [8] τὰς ὠμοπλάτας P. [9] καὶ E. [10] ἐμφυομένων P. [11] μυῶν om. P. [12] πρώτως P. πρῶτοι A. Numeri in mg. Codicis Parisiensis ad Galeni editionem Aldinam respiciunt. [13] ἀφαιρεθέντες A. ἀφαιρεθέντων E. [14] αὐτοῦ P. [15] φέρονται ἤτοι φαίνονται A. [16] τοῦ ζώου μερῶν om. E.

ρῶν. ἔστι δὲ ἡ ἔκφυσις [1] αὐτῶν ἰσχνὴ καὶ πλατεῖα [2] κατὰ γραμμὴν ἐγκαρσίαν ἐπὶ τὰ ὦτα φερομένη, οὐ μὴν ἐξικνεῖταί γε πρὸς ἑκάτερον [3] τῶν ὤτων, ἀλλ' [4] ἐλάττων ἐστὶ συχνῶς. ἐντεῦθεν ὁρμηθέντες οἱ δύο μύες ἀεὶ καὶ μᾶλλον πλατύνονται καὶ τελευτῶντες ἐμφύονται ταῖς ῥάχεσι τῶν ὠμοπλατῶν ἄχρι τοῦ καθ' ἑκάτερον [5] ἀκρωμίου συνεπιλαμβάνοντές τι καὶ τῶν κλειδῶν. τούτους τοὺς μῦς [6] ἔστιν ἰδεῖν καὶ ἐπὶ τῶν γυμναστικῶν ἐναργῶς καὶ πρὸ τῆς ἀνατομῆς. εὐτραφέστατοί [7] τε γὰρ γίγνονται καὶ σύμπαντα καταλαμβάνουσι τὸν αὐχένα. τὸ δὲ ἔργον αὐτῶν οὐχ ὥςπερ οἴεται Λύκος ἅμα πολλοῖς [8] ἄλλοις ἐξαπατώμενος· οὐ γὰρ κατασπῶσιν ἐπ' ὠμοπλάτας τὴν κεφαλὴν, ἀλλ' ἐκείνας ἐπὶ τὴν κεφαλὴν [9] ἀνέλκουσιν. ἀποδείκνυται δὲ τοῦτο διὰ τῶν [10] ἀνατομικῶν ἐγχειρήσεων, ἔνθα καὶ περὶ [11] πολλῶν ἄλλων κινήσεων [12] ἠγνοημένων τοῖς [13] ἔμπροσθεν ἰατροῖς ἐπὶ πλέον [14] διέξιμεν, ὡς ἂν [15] τις καὶ τὴν μέθοδον [16] καθ'

---

[1] αὐτοῦ A. [2] καὶ A. [3] τῶν ὄγκων ἤτοι τῶν ὤτων A. [4] ἔλαττον A. P. [5] ἀκραμίου A. ἀκρομίου E. [6] ἰδεῖν ἐστι P. [7] τε om. P. E. O. [8] ἄλλοις om. P. [9] ἕλκουσιν P. Adm. anat. IV. 6. καίτοι τό γε Λύκου βιβλίον ἐπὶ τὴν ὠμοπλάτην ἔφασκε κατασπᾶσθαι τὴν κεφαλὴν ὑπ' αὐτοῦ [10] Adm. anat. IV. 6. [11] τῶν addit A. [12] ἠγνοουμένων A. [13] ἄλλοις add. A. [14] διέξειμεν A. E. P. [15] ὡς ἂν τις (τις om. P.) καὶ τὴν μέθοδον κἂν (κἂν A. εἴ τις ἂν E. ἥτις ἂν P.) ἑκάστην (ἕκαστος P.) εὑρίσκῃ (εὑρίσκει A.) διδάσκοντες. Ita Codices. Vitiatum hunc locum recte emendasse mihi videor, [16] καθ' ex emendatione.

[1] ἑκάστην εὑρίσκῃ διδάσκοντες. μετὰ δὲ τὴν τῶν προειρημένων μυῶν ἔκφυσιν ἀποτμηθεῖσαν ὑπόκειταί τις ἑτέρα συζυγία μυῶν ἰσχνῶν καὶ μακρῶν [2] λεπτὴ μὲν καὶ πλατεῖα κατὰ τὴν ἔκφυσιν, ἀεὶ δ' ἐν τῷ προϊέναι [3] στρογγυλωτέρα γιγνομένη καὶ τελευτῶσα εἰς τένοντα λεπτὸν [4] [καταφύεται] κατὰ τὴν ἀρχὴν τῆς βάσεως τῆς [5] ὠμοπλάτης ἀκριβῶς στρογγύλον, οἷόνπερ νεῦρον, ὅστις ἐκ τῶν ἔνδον μερῶν παραφερόμενος τῇ βάσει καὶ [6] προελθὼν ἄχρι τοῦ [7] ἡμίσεως αὐτῆς, οὕτως ἤδη τὴν [8] ἔμφυσιν εἰς αὐτὸ τὸ τῆς βάσεως ὀστοῦν ποιεῖται. ἡ χρεία δὲ αὐτοῦ τῆς ὠμοπλάτης τὴν βάσιν [9] κατ' εὐθὺ ἀνέλκειν τῆς κεφαλῆς. οὐδὲ τοῦτον οἱ περὶ τὸν Λύκον ἔγνωσαν τὸν τένοντα.

ι'. Περὶ τῶν [10] τὴν ὠμοπλάτην κινούντων μυῶν.

Ἑπτὰ μύες εἰσὶν οἱ κινοῦντες [11] ἑκατέραν [12] τῶν ὠμοπλατῶν, δύο μὲν ἀπ' ἰνίου καταφε-

---

[1] ἕκαστος P. ἑκάστην sc. κίνησιν. [2] στρεπτὴ P. λεπτὴ in mg. torta G. [3] στρογγυλοτέρα E. [4] Uncis quod inclusi verbum, quum verborum ordinem male interumpat posteaque repetatur — τὴν ἔμφυσιν ποιεῖται εἰς etc. — glossema esse puto. O. [5] ὠμοπλάτου E. [6] προσελθὼν E. [7] ἡμίσεος Codices omnes. [8] ἔκφυσιν A. P. [9] κατ' εὐθεῖαν ἕλκειν E. Quem primum describit, musculus est trapezius sive cucullaris. Alter est rhomboidei particula, qualis in simiis observatur. Cuvier leçons etc. I. p. 259. occipito-scapulaire ou grand releveur de l'omoplate. Vesal. II. 26. Musculus attollens scapulam, quo simia abundat. [10] τὴν om. P. [11] ἑκατέρων E. [12] τὴν ὠμοπλάτην P.

ρόμενοι λοξοὶ, περὶ ὧν ἔμπροσθεν [1] [2] εἶπον, ἕτερος δὲ τρίτος ἀπὸ τῆς εἰς τὸ πλάγιον ἐξοχῆς τοῦ πρώτου σπονδύλου, τέταρτος δὲ ἀπὸ τοῦ τὸν λάρυγγα περιέχοντος ὀστοῦ, καὶ δύο ἄλλοι τὴν ἔκφυσιν ἐκ τῆς κατὰ τὸν νῶτον ἀκάνθης ἔχοντες, ἕβδομος δὲ ἀπὸ τῆς ὀσφύος ἀναφερόμενος ἐπὶ τὴν [2] κατ' ὦμον διάρθρωσιν, μέγιστος μῦς, οὗ τὴν φύσιν ἅπασαν ἐν τοῖς ἑξῆς διηγήσομαι κατ' ἐκεῖνο τοῦ λόγου τὸ μέρος, ἔνθα δίειμι περὶ τῶν [3] τὸ κατ' ὦμον ἄρθρον κινούντων μυῶν. [4] ἐμφύεται δὲ ὁ μὲν ἐκ τοῦ πρώτου σπονδύλου τὴν ἔκφυσιν ἔχων εἰς τὸ τῆς [5] ἐν ὠμοπλάτῃ ῥάχεως πέρας, ὅσον ὑψηλόν ἐστι, πρὸς [6] ἀκρώμιον σχεδὸν εἰς τὸ τρίτον που μέρος ὅλης αὐτῆς. ἔστι δὲ [7] σαρκώδης τε καὶ ἥκιστα πλατὺς ὁ μῦς οὗτος καὶ προσάγει τὴν ὠμοπλάτην τοῖς πλαγίοις μέρεσι τοῦ τραχήλου. τούτου τοῦ μυὸς οὐ τὴν ἐνέργειαν μόνην [8] ὁ Λύκος ἠγνόησεν, ἀλλὰ καὶ τὴν ἔκφυσίν τε καὶ τὴν κατάφυσιν, οἰόμενος ἄρχεσθαι μὲν [9] αὐτὸν ἀπὸ τῶν στηλοειδῶν τοῦ κρανίου ἐκφύσεων, ἥκειν δ' ἐπὶ τὸ ἀκρώμιον. ὁ δ' ἐκ τοῦ περιέχοντος ὀστοῦ τὸν λάρυγγα τὴν ἐκ-

---

[1] οἱ πο . . . A. [2] κάτωμον E. κάτωθεν O. [3] τὸ om. P. [4] ἐκφύεται A. E. P. in mg. [5] ὠμοπλάτης P. [6] τὸ addit. P. ἀκρόμυιον E. [7] σαρκοειδὴς P. O. [8] ἠγν. ὁ Λύκος A. [9] αὐτὸ A. στιλλοειδῶν A. Levator scapulae est, qui a processibus transversalibus superiorum colli vertebrarum exoriens spinam scapulae in simiis tangit musculus. Vesalius hunc musculum hominibus datum esse pernegat.

φυσιν ἔχων εἰς ἐκεῖνο μάλιστα τῆς κατ' ὠμοπλάτην ὑψηλῆς [1] ἐμφύεται πλευρᾶς, [2] ἵνα περ ἡ ἀρχὴ τῆς ἀγκυροειδοῦς ἀποφύσεώς ἐστι. στενὸς δὲ καὶ μακρὸς [3] ὁ μῦς οὗτος ὑπάρχει καὶ προσάγει τὴν ὠμοπλάτην [4] εἰς τὸ πρόσω τοῦ τραχήλου [5] ἐπὶ τὴν ἰδίαν ἀρχὴν, ὅπερ ἁπάντων κοινόν ἐστι τῶν μυῶν. [6] ὁ δὲ ἀπὸ [7] τῆς ὀσφύος εἰς τὴν κατὰ τὸν ὦμον διάρθρωσιν ἀναφερόμενος μῦς, τῇ τε βάσει τῆς ὠμοπλάτης [8] ὁμιλῶν ὅλῃ καὶ [9] τῶν σιμῶν τοῖς κατὰ τὴν ταπεινοτέραν πλευρὰν, κάτωθέν τε καὶ πρόσθεν [10] ἐφ' ἑαυτὸν ἐκ τούτων τῶν λαβῶν ἐπισπᾶται τὴν ὅλην ὠμοπλάτην εἴς τε τὰ κάτω καὶ πρόσω. οἱ δὲ ὑπόλοιποι δύο μύες, οὓς μόνους οἴεται Λύκος τὴν ὠμοπλάτην κινεῖν, ὁ μὲν ἐπιπολῆς ἐξ ἁπάντων ἐκφυόμενος τῶν τοῦ θώρακος σπονδύλων εἰς τὸ κάτω μέρος [11] ἐμφύεται τῆς ῥάχεως αὐτῆς· ὁ δὲ ὑπ' [12] αὐτῷ κείμενος ἐκφύεται μὲν ἐκ τῶν [13] ἑπτὰ τοῦ θώρακος σπονδύλων καὶ προςέτι τῶν ἐν [14] τῷ τραχήλῳ πέντε, καταφύεται δὲ εἰς ὅλον τὸ

---

[1] ἐκφύεται E. [2] ἔνθα P. [3] οὗτος ὁ μῦς A. Est coracohyoideus seu omohyoideus. Vesal. II. 17. [4] εἰς τὸ πρόσω τοῦ τραχήλου om. A. E. [5] πρὸς P. ἐπ' in mg. [6] ὁ ζ' P. in mg. [7] τῶν πλευρῶν τε καὶ add. P. O. [8] ὁμιλεῖ E. [9] τοῖς σιμοῖς P. O. [10] ἐπ' αὐτῶν E. Serratus anticus major describitur Galeno, quem a latissimo dorsi parum distinet. Latissimus enim dorsi ad lumbos iliaque exporrigitur. [11] ἐκφύεται E. O. Rhomboideus minor seu superior. [12] ὑπ' αὐτὸν E. [13] ἑπτὰ om. E. [14] τῷ om A. O. Rhomboideus ma-

τὸ χονδρῶδες τῆς βάσεως. ἀπάγει μὲν οὖν ἑκάτερος αὐτῶν ὀπίσω τὴν ὠμοπλάτην, ἀλλ' ὁ μὲν [1] πρότερον ῥηθεὶς [2] σὺν τῷ κατασπᾷν, ὁ δὲ δεύτερος ὡς ἐπὶ τὸν τράχηλον [3] ἀνέλκων. εἰ δ' ἄμφω ταθεῖεν, ὀπίσω πρὸς τὴν ῥάχιν ἀπάγουσιν ὅλην τὴν ὠμοπλάτην [4] ἐπὶ τοὺς ἑπτὰ [5] τοῦ θώρακος σπονδύλους τοὺς πρώτους, οἷς καὶ [6] πρατέτανται.

ια'. Περὶ τῶν τὴν κεφαλὴν κινούντων μυῶν.

Ἡ κεφαλὴ τὰς μὲν οἰκείας κινήσεις ἄνευ τοῦ τραχήλου κινεῖται, βραχυτάτας τε ἅμα καὶ διττὰς ὑπαρχούσας, [7] καὶ διττὰς διαρθρώσεις [8] ἔχει, τὰς μὲν ἑτέρας, ἐφ' ἑκάτερα [9] περιστρεφομένη, τὰς δὲ ἑτέρας, [10] ἐπινευόντων τε πρόσω καὶ ἀνανευόντων ὀπίσω. αἱ δὲ σὺν ὅλῳ τῷ τραχήλῳ κινήσεις αὐτῆς ἐπὶ πολύ τε γίγνονται καὶ μετ' ὀλίγον ὑπὲρ αὐτῶν δίειμι. νυνὶ δὲ περὶ τῶν οἰκείων αὐτῆς μυῶν εἰρήσεται. τῇ προειρημένῃ συζυγίᾳ τῶν ἰσχνῶν μυῶν, οὓς καὶ αὐτοὺς [11] ἔφθην εἰπὼν ἀνασπᾷν τὴν ὠμοπλάτην, [12] τοῦ κατ' ἰνίον ὀστοῦ τῆς κεφαλῆς ἐκφυομένους, ἐφεξῆς ἐστιν

---

jor s. inferior. Vesal. II. 26. De propriis scapulae sex musculis vide Adm. anat. IV. 10.

[1] πρότερος E. O. [2] ἑαυτῷ κατασπᾷ P. [3] ἀνέλκει / ἀνέλκων P. [4] πρὸς P. O. [5] τοῦ om. E. [6] περιτέτανται A. [7] κατὰ P. O. [8] ἔχει P. in textu. [9] περιμεμφομένη A. [10] ἐπὶ νευόντων P. [11] ἔφην ἀνασπᾷν P. O. [12] ἐκ addit P.

ἑτέρα τὴν ἔκφυσιν ἐγκαρσίαν τε ἅμα καὶ σαρκώδη καὶ πλατεῖαν ἄχρι τῶν ὤτων ἔχουσα. [1] συνεκφύεται δὲ αὐτῇ τις ἑτέρα τὴν ἀρχὴν ἐκ τῆς ὑπ' αὐτὸ τὸ οὖς χώρας πεποιημένη. αὗται δι' ὅλου τοῦ τραχήλου πρὸς τὰ πρόσω φέρονται λοξαί, κατὰ μὲν τὴν πρώτην ἔκφυσιν μετρίως συμφυεῖς, ἐν δὲ τῷ μετὰ ταῦτα χωρίῳ [2] ἀποχωροῦσι μᾶλλον καὶ διὰ τοῦτο [3] δύο μύες [4] δόξειαν ἄν τῳ καὶ εἷς ἑκατέρωθεν τοῦ τραχήλου· [5] ἀμφοτέρων δὲ καὶ ἡ χρεία καὶ ἡ κίνησις καὶ ἡ τῶν ἰνῶν θέσις ὁμοία· [6] διαφέρουσι δὲ ἑνὶ μόνῳ, τῷ τὰς μὲν τοῦ προτέρου μυὸς [7] ἶνας ἀπὸ τῆς πρώτης ἐκφύσεως σαρκοειδεῖς [8] ὑπαρχούσας ἄχρι παντὸς τοιαύτας μενούσας εἰς τὸ τῆς κλειδὸς [9] ὀστοῦν [10] καταφύεσθαι, [11] τὰς δὲ τοῦ δευτέρου καὶ οἷον σύνδεσμον ἔχειν τὴν ἀρχὴν καὶ

---

[1] συμφύεται A. E. [2] ἀποχωροῦσαι A. [3] καὶ add. A. P. [4] δόξειεν αὐτῳ, καὶ εἷς A. δόξειεν ἄν τις καὶ οὐχ εἷς P. εἶναι δόξειεν ἄν τῷ καὶ εἷς O. δόξειεν ἄν, ὁ καθ' εἷς E. Scripsi δόξειαν ἄν τῳ καὶ εἷς [5] ἀμφοτέρωθεν E. [6] διατρέπουσι A. [7] ἴνας E. [8] ὑπάρχουσιν A. [9] Mirum in modum in Codice Ambrosiano folia, quibus hic Galeni liber continetur, disjecta sunt atque intertexta aliis, quae Galeni de ossibus libelli partes complectuntur. Scripturae modo grandioris modo minutioris genus admodum variat. Plurium scribarum manus conspicuae. Partes quaedam hujus libri bis leguntur, ut nostra hujus codicis pars, quae chartacea est, ex aliquot codicum laciniis conflata atque a scribis male digesta esse videatur. [10] καταφέρεσθαι P. [11] τὰ δὲ P.

οἷον τένοντα τὸ πέρας, [1] ὃς πρὸς τὸ στέρνον περαίνεται. τέμνεσθαι δέ [2] πως καὶ αὐτὸς οὗτος ὁ δεύτερος μῦς εἰς δύο δύναται τῷ βουλομένῳ μέχρι τοσούτου λεπτουργεῖσθαι. σχίζεται γάρ πως [3] κατὰ τὸν τράχηλον, ὡς παρακεῖσθαί [4] τε καὶ ψαύειν αὐτοῦ τὰ μέρη συνηρτημένα. τὸ μὲν οὖν ἕτερον τὸ πρόσθιον ἐμφύεται τῷ στέρνῳ διὰ νευρώδους πέρατος, τὸ δ' ἕτερον εἰς τὴν ἀρχὴν τῆς κλειδὸς σαρκοειδῆ κατάφυσιν ποιεῖται, μέσον κείμενον αὐτοῦ [5] τοῦ πρὸς τὸ στέρνον [6] περαίνοντος καὶ τοῦ πρόσθεν ῥηθέντος τοῦ [7] τὴν ἔκφυσιν ἐξ ἰνίου πεποιημένου. τοῦτον ὅλον τὸν μῦν ἕνα [8] μὲν χρὴ τίθεσθαι τῇ τε κινήσει καὶ τῇ χρείᾳ· καὶ γὰρ ἡ κίνησις αὐτοῦ λοξὴ καὶ ἡ [9] χρεία, τὴν κεφαλὴν τοῦ ζώου [10] περιάγειν εἰς τὰ πρόσω· οὐχ [11] ἕνα δὲ διά τε τὸ μὴ πάντῃ μένειν συνεχῆ καὶ διὰ τὸ τὰς ἐκφύσεις τε καὶ καταφύσεις οὐχ [12] ὁμοίως ἁπάσας εὐθείας ἔχειν. αἵ τε γὰρ ἐκφύσεις αὐτοῦ δύο εἰσί, [13] σαρκώδης μὲν ἡ ἐξ ἰνίου, νευρωδεστέρα δέ πως ἡ ὑπὸ τὸ οὖς· αἵ τε καταφύσεις, ὡς νῦν ἤδη λέλεκται, σαρκώδης μὲν ἡ εἰς τὴν κλεῖν καθήκουσα, νευρώδης

---

[1] ὡς A. E. ὃ P. Scripsi ὃς [2] δ' ὅπως A. [3] περὶ P. circa G. [4] τε om. P. [5] τε τούτου P. [6] περάματος E. [7] πρός E. πεπ. ἐξ ἰν. P. De sternomastoideo et cleidomastoideo sermo est musculo, qui in multis quadrupedibus cum trapezio coit. [8] μὲν om. P. [9] χρεία om. A. lacuna. [10] περιάγει P. E. O. [11] ἕνα om. A. lacuna. [12] ὁμοίως P. [13] σαρκοειδὴς A.

δὲ ἡ [1] τῷ στέρνῳ συμφυομένη. ἀλλὰ περὶ μὲν τούτων οὐ [2] μεγάλα τοῖς ἀνατομικοῖς ἡμάρτηται· τὸ δ' οἴεσθαι τῷ μήκει τῆς κλειδὸς ἐμφύεσθαι [3] παντὶ τὴν ἀπ' ἰνίου μοῖραν [4] αὐτοῦ, οὐ [5] μικρόν τι περὶ τὸ φαινόμενον ἐσφαλμένον ἐστίν. εἴρηται δὲ ὑπὸ [6] τοῦ Λύκου [7] τοῦτο καὶ ἄλλων τινῶν ἐνδόξων ἀνδρῶν, καίτοι γε οὐ μόνον ὅλην οὐ κατείληφε τὴν κλεῖν ὁ μῦς οὗτος, ἀλλ' οὐδὲ τὸ ἥμισυ μέρος αὐτῆς. αὕτη μὲν οὖν ἡ συζυγία μεγάλων ἱκανῶς ἐστὶ μυῶν, ὥςτε καὶ πρὸ τῆς ἀνατομῆς ἐπὶ πάντων ἀνθρώπων διαγιγνώσκεσθαι σαφῶς καὶ μάλιστα ἐπὶ τῶν γυμναστικῶν. οἱ δ' ὄπισθεν ἐξ ἰνίου πεφυκότες ἐλάττους τε πολὺ τούτων εἰσὶ καὶ πάμπολλοι τὸν ἀριθμόν. ἔστι δὲ αὐτῶν, ὡς ἄν τις εἴποι, δύο γένη, τὸ μὲν ἕτερον κοινὸν τραχήλου καὶ κεφαλῆς, τὸ δ' ἕτερον [8] ἴδιον αὐτῆς [9] μόνης τῆς κεφαλῆς. τὸ μὲν οὖν κοινὸν τραχήλου καὶ κεφαλῆς εἰς ὀκτώ [10] που διαιρεῖται μῦς, ἑκατέρωθεν [11] τῆς ἀκάνθης [12] τέσσαρας, ὧν ἡ μὲν πρώτη συζυγία, πλατείας ἔχουσα τὰς κατ' ἰνίον ἐκφύσεις, στενοῦται κατιοῦσα καὶ γίγνεται τὸ σχῆμα τῶν μυῶν [13] ἑκατέρου τριγώνῳ παραπλήσιον ὀρθογωνίῳ, βάσιν μὲν ἔχοντι τὴν ἐκ

---

[1] ἐν τῷ P. [2] μεγάλως E. [3] πάντη A. E. [4] αὐτῶν P. [5] σμικρὸν A. [6] τε τοῦ A. [7] τούτου E. τοῦτο τὸ P. [8] ἴδιον om. P. O. [9] μόνον A. [10] που om. A. [11] τε τῆς E. [12] τέσσαρες E. τέτταρα O. [13] ἑκατέρῳ A.

τῆς κεφαλῆς [1] ἔκφυσιν, τὴν δ' ἑτέραν [2] τῶν περὶ τὴν ὀρθὴν γωνίαν πλευρῶν αὐτῆς τῆς ῥάχεως τὴν ἄκανθαν, [3] λοιπὴν δὲ τρίτην τὴν ταύτας ἐπιζευγνύουσαν, ὥςτε ἐκ τῶν εἰρημένων εὔδηλον, ὅτι λοξαὶ τούτων εἰσὶν [4] αἱ ἶνες ἀπὸ τῶν πλαγίων τῆς κεφαλῆς ἐπιστρεφόμεναι πρὸς τοὐπίσω. οὗτοι μὲν οὖν οἱ μύες ὥςπερ τινὲς πτύχες ἐπίκεινται τοῖς ἄλλοις [5] πεπλατυσμένοι καθ' [6] ἑκάτερον μέρος εἷς. ἀρθέντων δὲ αὐτῶν, ἐνίοτε μὲν [7] ἐναργῶς φαίνονται τρεῖς συζυγίαι μυῶν, ὡς τὸ πολὺ δὲ δύο, [8] παρατεταμένη μὲν ἡ ἑτέρα παρὰ τὴν ἄκανθαν ἀτρέμα [9] πλατέων μυῶν λοξῶν ἀπ' ἰνίου πρὸς τὰ πλάγια τῆς ῥάχεως φερομένων· ἡ δ' ἑτέρα στρογγύλων, [10] ὑπεναντίως ἐκείνης ἐχόντων τὰς ἶνας ἐκ τῶν πλαγίων μερῶν τῆς κεφαλῆς, ὅθεν [11] περ καὶ τὴν ἔκφυσιν ἔχουσιν, ἐπὶ τὴν ἄκανθαν [12] φερομένας. ἐπειδὰν δὲ [13] τρεῖς συζυγίαι φαίνωνται, μία μὲν αὐτῶν [14] παρὰ τὴν ῥάχιν ἐκτέταται, ἡ δὲ ἄλλη, παρὰ τὰς πλαγίας ἀποφύσεις, [15] λοιπὴ δὲ ἀμφοῖν [16] τέτακται μέση·

---

[1] ἔκβασιν A. [2] μὲν τῶν P. ἐπὶ P. [3] λοιπὸν E. δὲ καὶ A. E. [4] αἱ om. P. [5] πεπλατυσμένοις A. [6] καθ' ἕτερον P. ἑκάτερον in mg. Hi musculi Splenii sunt capitis, Anat. adm. IV. 6. Vesal. II. 28. [7] αὐτῶν ἐναργῶς A. [8] παρατεταμένης ἑτέρας A. E. μὲν ἑτέρα P. [9] πλατεῖ A. [10] ὑπ' ἐναντίου O. ἐκείνοις P. O. [11] περ om. E. [12] φερόμεναι A. E. φερομένην P. Scripsi cum Oribasio φερομένας [13] αἱ τρεῖς E. [14] περὶ A. P. [15] λοιπὸν A. ἡ δὲ λοιπὴ P. [16] περιτέτακται P. Latiorem musculum, quem Galenus illustrat, adpellamus Com-

πολλάκις δὲ καὶ πάσας τὰς ἶνας ἁπασῶν τῶν ἐκφύσεών [1] ἐστιν ἰδεῖν ἀπὸ τῶν ὀπίσω μερῶν εἰς [2] τὰ πρόσω [3] λοξὰς φερομένας, ὡς τελευτᾷν ἁπάσας κατ' ἐκεῖνο τὸ μέρος τῶν σπονδύλων, ἵνα πέρ εἰσιν αὐτῶν αἱ ἀποφύσεις αἱ πλάγιαι. ἀφελόντι δὲ αὐτὰς ἀκριβῶς ἤδη [4] καταφαίνεται τὰ κατὰ τὴν διάρθρωσιν [5] τῆς κεφαλῆς. εἰσὶ δ' ἐνταῦθα τέσσαρες μύες μικροὶ καθ' ἑκάτερον μέρος, δύο μὲν ἐκ τοῦ τῆς κεφαλῆς ὀστοῦ τὴν ἔκφυσιν ἔχοντες ἐκ κοινῆς ἀρχῆς, κατὰ τὸ τοῦ ἰνίου πέρας [6] ἁπτόμενοι τῆς διαρθρώσεως. καθήκει δὲ ὁ μὲν [7] νευρωδέστερος αὐτῶν εἰς τὴν [8] ὀπισθίαν ἀπόφυσιν τοῦ δευτέρου σπονδύλου, στενούμενος κατὰ τὴν ἔμφυσιν· ὁ δὲ ἕτερος λοξὸς εἰς τὴν πλαγίαν [9] τοῦ πρώτου· τρίτος δὲ ἄλλος μῦς ἐπιζεύγνυσιν ἀμφοτέρους, ἀπὸ τῆς τοῦ [10] πρώτου σπονδύλου πλαγίας ἀποφύσεως ἐπὶ τὴν ὄπισθεν ἀφικνούμενος τοῦ δευτέρου. καταφύεται δὲ [11] οὗτος μὲν εἰς τὰ πλάγια τῆς [12] ἀποφύσεως, ὁ δὲ ἕτερος ὁ

---

plexum biventremque cervicis; teretem vero trachelomastoideum.

[1] ἰδεῖν ἐστιν A. P. [2] τὸ A. [3] λοξῶς P. [4] καταφαίνονται αἱ περὶ P. in mg. καταφανοῦνται αἱ περὶ O. [5] κεφαλῆς — ὀστοῦ om. O. [6] ἁπτόμεναι E. [7] εὐρωστότερος P. in mg. O. [8] ὀπισθίαν ἔκφυσιν A. insertionem G. unde ἔμφυσιν scripsi. [9] πλάτου A. — Musculus rectus capitis posticus major, obliquus superior, obliquus inferior, rectus posticus minor deinceps describuntur. Adm. anat. IV. 7. [10] προτέρου E. [11] αὐτὸς A. E. [12] ἐκφύσεως P. O.

πρῶτος λεχθεὶς εἰς [1] αὐτὸ τὸ ὑψηλὸν, ὅπερ ἄκανθαν ὀνομάζουσιν. ὑπόκειται δὲ τούτῳ μῦς ἕτερος μικρὸς ἐκ τοῦ τῆς κεφαλῆς ἰνίου καταφυόμενος εἰς τὸν πρῶτον σπόνδυλον. ἡ δὲ ἐνέργεια τῶν [2] μὲν ὑστάτων εἰρημένων μυῶν τούτων τῶν μικρῶν, ὀκτὼ τὸν ἀριθμὸν ὄντων, [3] τὰ περὶ τὴν διάρθρωσιν μόνην [4] κινεῖν τῆς κεφαλῆς, τῶν δ' ἐπικειμένων [5] αὐτοῖς ἅμα τῷ τραχήλῳ παντὶ τὴν κεφαλήν. [6] ἀνανεύουσι μὲν οὖν ἐπ' εὐθείας μόνην τὴν κεφαλὴν οἱ καθήκοντες ὄρθιοι μύες εἰς τε τὸν πρῶτον καὶ τὸν δεύτερον σπόνδυλον, μετὰ δὲ βραχείας ἐγκλίσεως οἱ λοιποὶ τέσσαρες οἱ μὲν ἐκ τῆς κεφαλῆς ἐκπεφυκότες ἀτρέμα λοξὴν ἀπάγοντες εἰς τὸ πλάγιον, οἱ λοιποὶ δὲ δύο [7] τὴν γιγνομένην ἐκ ταύτης τῆς κινήσεως τοῖς ἀντιτεταγμένοις μυσὶν ἀνάτασιν λοξὴν ἐπὶ τὴν κεφαλὴν ἅμα τοῖς [8] συνεχέσι μέρεσι τοῦ πρώτου σπονδύλου πρὸς τὸ κατὰ φύσιν ἐπανάγοντες. πρόδηλον δὲ ὅτι καθ' ἕνα μὲν ἕκαστον μῦν αἱ κινήσεις αὗται [9] λοξαὶ γίγνονται, συναμφοτέρου δὲ καθ' ἑκάστην συζυγίαν ἐνεργήσαντος, εὐθεῖα κίνησις ἀποτελεῖται μία. [10] οὕτω δὲ καὶ [11] τῶν

---

[1] αὐτὸ om. E. [2] μὲν om. A. ὑστάτως P. ὑστάτων in mg. μικρῶν om. O. [3] ἡ περὶ P. [4] κίνησις P. κινῆσαι in mg. κινεῖ A. τὴν διάρθρωσιν μόνην κινῆσαι O. [5] αὐτῇ E. [6] ἀνανεύουσι — κεφαλὴν om. A. [7] ἐνεργοῦντές τε κατὰ addit P. συνεργοῦντες in mg. dum agunt. G. συνεργοῦντες τῇδε καὶ O. [8] συνέχουσι μορίοις P. [9] γίγνονται αἱ λοξαὶ P. [10] ὁμοίως O. [11] ἐπὶ addit P.

ἐπικειμένων αὐτοῖς μυῶν ὅλον τὸν τράχηλον κατειληφότων οἱ μὲν λοξοὶ λοξὴν ἀνανεύουσιν, οἱ δὲ εὐθεῖς εὐθεῖαν ἐργάζονται. ἐσφαλμένοι δέ εἰσι καὶ περὶ τούτους οἱ ἀνατομικοὶ μήτε τὸν ἀριθμὸν αὐτῶν ἀκριβῶς μήτε τὴν [1] θέσιν μήτε τὴν ἐνέργειαν [2] μήτε τὸ σχῆμα μήτε τὴν χρείαν γράψαντες. ἄλλοι δ' ἐκ τῶν πρόσω δύο μύες εἰσὶ τῶν κινούντων ἅμα τῷ τραχήλῳ τὴν κεφαλήν, εὔρωστοί τε καὶ μακροί· προβαίνουσι δὲ ἄχρι τοῦ πέμπτου τῶν κατὰ [3] τὸν θώρακα σπονδύλων, [4] ἐπιτεταμένοι μὲν ἅπασι τοῖς κατὰ τὸν αὐχένα σπονδύλοις ἐκ τῶν ἔμπροσθεν μερῶν, ὑποβεβλημένοι δὲ τῷ στομάχῳ. ἡ δ' ἔκφυσις τούτων ἐκ τῶν κάτω μερῶν ἐστι τῆς κεφαλῆς, σαρκώδης τε οὖσα καὶ κατειληφυῖα τὸ μεταξὺ τῆς τε διαρθρώσεως αὐτῆς καὶ τοῦ κάτω πέρατος τῆς λαβδοειδοῦς ῥαφῆς. κάμπτουσι δὲ οἱ δύο μύες [5] οὗτοι σὺν τῷ τραχήλῳ τὴν κεφαλήν, ἐπειδὰν [6] ἐνεργήσωσιν ὅλοι· τὸ δὲ ἄνω μέρος αὐτῶν ὅσον ἀπὸ τῆς κεφαλῆς εἰς τὸν πρῶτόν τε καὶ [7] τὸν δεύτερον [8] σπόνδυλον ἐμφύεται, αὐτὴν μόνην ἐπινεύει τὴν κεφαλήν, ἰδίαν ἔσθ' ὅτε [9] καὶ σαφῆ περιγραφὴν ἔχον ἀνάλογον τοῖς ὄπισθεν [10] μυσὶ τοῖς

---

[1] φύσιν ἤτοι τὴν θέσιν A. duabus lectionibus in textum receptis. [2] μήτε τὴν χρείαν μήτε τὸ σχῆμα P. [3] τὸν om. E. [4] ἐπιτεταμένοις E. ἐπιτεταγμένοι A. — Caput deorsum inclinant musculi recti capitis interni. [5] οὕτω A. [6] ἐνεργῶσιν O. [7] τὸν om A. P. [8] ἐμφ. σπόνδ. A. P. [9] καὶ σαφῆ om. E. καὶ om. P. O. παραγραφὴν A. [10] μὲν A.

μικροῖς. εἰσὶ δὲ κὰκ τῶν [1] πλαγίων μερῶν περὶ τὸ τῆς κεφαλῆς ἄρθρον ἄλλαι δύο συζυγίαι [2] μικρῶν μυῶν, ἡ μὲν ἑτέρα συνάπτουσα τῇ κεφαλῇ τὸν πρῶτον σπόνδυλον, ἡ δ᾽ ἑτέρα [3] τούτῳ τὸν [4] δεύτερον, οὐκ ἀεὶ σαφής. [5] ἡ δ᾽ ἐνέργεια αὐτῶν ἐστιν, εἰς τὸ πλάγιον [6] ἐπινεύειν αὐτὰς μόνας τὰς κατὰ τοὺς πρώτους σπονδύλους διαρθρώσεις. τούτων ἁπάντων τῶν [7] μικρῶν μυῶν, ὅσοι τὴν διάρθρωσιν ἐστεφανώκασι τῆς κεφαλῆς [8] ἐν κύκλῳ περικείμενοι, [9] δύο μόνους οἶδεν ὁ Λύκος, [10] ἀγνοεῖ δὲ τοὺς ἄλλους ἅπαντας ὥςπερ καὶ τοὺς ὄπισθεν ὀκτὼ τοῦ ἰνίου, οὓς κοινοὺς ἔφαμεν εἶναι τραχήλου καὶ κεφαλῆς· ἀλλὰ τούτους μὲν οὐκ ἠδυνήθη [11] χωρίσαι τῶν ῥαχιτῶν, τοὺς λοιποὺς δὲ [12] κατακεχρυμμένους ὑπὸ τούτων εἰκότως οὐκ [13] ἔγνω.

ιβ. Περὶ τῶν τῆς τραχείας ἀρτηρίας μυῶν.

Τῆς τραχείας ἀρτηρίας τέσσαρές εἰσιν ἴδιοι μύες, συστέλλοντές τε καὶ στενοῦντες αὐτήν, ἐπει-

---

[1] πλατίων P. πλαγίων in mg. [2] μικραὶ A. μυῶν μικρῶν P. [3] τούτων A. τοῦτον E. [4] σπόνδυλον τὸν om. E. P. [5] ἡ ἐνέργεια δὲ τούτων P. [6] δὲ add. P. [7] μικρῶν om. P. — Recti capitis musculi laterales cum intertransversariis colli summis ultima haec Galeni paria efficiunt. [8] ὥςπερ ὁρᾷς add. P. ὥσπερ χορὸς ἐν κύκλῳ περικείμενος O. bene. [9] ἄλλος ἄλλην ἐνέργειαν πεπίστευται add. P. O. [10] ἀγνοῶν P. [11] διαχωρίσαι P. [12] ὑπὸ τούτους καταχ. P. [13] ἔγνωσεν A.

δὰν ταθῶσιν, ἀντισπῶντες [1] καὶ τὸ ὑοειδὲς ὀστοῦν καὶ τὸν λάρυγγα. ἄρχονται δὲ αὐτῶν οἱ μὲν μείζους ἐκ τοῦ κάτω πέρατος τῆς εὐθείας γραμμῆς τοῦ ὑοειδοῦς, εἶτα κατὰ τὸ μῆκος ὅλης τῆς ἀρτηρίας ἐνεχθέντες ἐμφύονται τῷ στέρνῳ κατὰ τὰ ἔνδον μέρη. [2] δόξειαν δ' ἄν σοι ποτὲ καὶ διφυεῖς ὑπάρχειν οἱ δύο μύες οὗτοι· ἄλλοι δὲ δύο [3] τῶν πλαγίων [4] τε καὶ κάτω μερῶν [5] ἐκφυόμενοι τοῦ θυρεοειδοῦς χόνδρου τελευτῶσι [6] καὶ [7] αὐτοὶ πρὸς τὸ στέρνον, ἐκ τῶν πλαγίων περιλαμβάνοντες τὴν ἀρτηρίαν, μεμνημένων [8] ἡμῶν, ὡς ἐπὶ τῶν πιθήκων ἅπαντα λέγεται ταῦτα. περὶ δὲ τῆς τῶν ἄλλων ζώων πρὸς [9] τούτους διαφορᾶς ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι λέγεται.

ιγ'. Περὶ τῶν τοῦ λάρυγγος ἰδίων μυῶν.

Δύο μὲν ἐπὶ τοῖς προσθίοις μέρεσι τοῦ χόνδρου τοῦ θυρεοειδοῦς, ὁ μὲν ἐκ τῶν δεξιῶν, ὁ δ' ἐκ τῶν ἀριστερῶν, ὄρθιοι κατὰ τὸ μῆκος ἐπίκεινται [10] πεφυκότες ἐκ τῶν ταπεινῶν [11] πλευρῶν τοῦ λαβδοειδοῦς. ἀνασπῶσι δὲ οὗτοι πρὸς [12] τὸ ἄνω καὶ πρόσω τὸν χόνδρον. ἕτεροι δὲ δύο

---

[1] κάτω A. E. ὑοειδοῦς A. ἰοειδὲς P. θυιοειδὲς in mg. [2] δόξειε E. ποτὲ om. E. — Sternohyoidei. [3] ἀπὸ add. P. [4] περιλαμβάνονται add. P. [5] ἐμφυόμενοι E. θυροειδοῦς A. E. servata semper hac scripturae forma. [6] δὲ E. add. [7] οὗτοι εἰς P. πρὸς in mg. [8] δὲ add. E. [9] τούτου A. τοῦ τὰς E. — Sternothyreoidei. [10] δεδωκότες A. [11] μερῶν A. P. πλευρῶν P. in mg. — Hyothyreodei. [12] τε add. P. O.

μύες, ἀπὸ τῶν ὀπίσω περάτων τοῦ θυρεοειδοῦς χόνδρου καθ' [1] ἑκάτερον εἷς ἐκφυόμενος, καταφύονται τῷ στομάχῳ, σφιγκτήρων τρόπον περιλαμβάνοντες αὐτόν· συνάγειν καὶ [2] προσστέλλειν οὗτοι πεφύκασι τὸν χόνδρον. ἄλλοι δὲ δύο [3] διφυεῖς τὰ πέρατα τοῦ πρώτου καὶ δευτέρου χόνδρου συνάπτουσί τε καὶ συνάγουσι. καὶ μετὰ τούτους ἄλλοι τέσσαρες ἐκ τοῦ δευτέρου χόνδρου [4] ἀπὸ τῶν ὀπίσω περάτων διήκοντες εἰς τὸν τρίτον, οἱ μὲν εἰς τοὐπίσω διαστέλλουσι τὴν διάρθρωσιν, οἱ δ' εἰς τὰ πλάγια. [5] καὶ μετὰ [6] τούτους ἄλλοι δύο, μὴ φαινόμενοι πρὶν διοιχθῆναι τὸν λάρυγγα, συνάπτουσι τὸν θυρεοειδῆ χόνδρον τῷ μὲν ἀρυταινοειδεῖ διὰ παντὸς, οὐ διὰ παντὸς δὲ τῷ λοιπῷ τῷ ἀνωνύμῳ. [7] ἀντικειμένην οἱ δύο μύες οὗτοι τὴν ἐνέργειαν ἔχουσι τοῖς προειρημένοις [8] τέσσαρσιν. ἔστι δὲ καὶ περὶ [9] τῇ βάσει τοῦ τρίτου χόνδρου μῦς [10] διφυὴς ἢ δύο συμφυεῖς ἢ ὡς ἂν ἐθέλῃς ὀνομάζειν, οὐκ ἐν ἅπασι τοῖς ζώοις

---

[1] ἕτερον P. ἑκάτερον in mg. σφιγκτῆρος O. [2] προστέλλειν P. συνάγ. οὗτοι καὶ προσ. P. — Thyreopharyngeus sive constrictor pharyngis inferior. [3] συμφυεῖς O. εἰς τὰ πέρατα A. E. — Cricothyreoidei. [4] ἀπὸ τῶν ὀπίσω περάτων om. P. G. [5] τὸ ἄνω πέρας ἀνοίγοντες (ἀνοιγνύντες O.) τοῦ λάρυγγος add. P. O. — Cricoarytaenoidei postici et laterales. [6] αὐτοὺς P. O. — Thyreoarytaenoidei. Cartilago innominata est cuneiformis sive tuberculum Santorini. [7] ἀντικείμενοι A. [8] τέτρασιν A. [9] τὴν βάσιν E. [10] διαφυὴς A.

[1] ὑπάρχοντες, ἀλλ' [2] ἐν οἷς γέ εἰσι, συνάγουσι τὸν χόνδρον καὶ κλείουσι τὸν λάρυγγα. πεπλάνηνται δ' οὐ σμικρὰ περὶ πολλοὺς τῶν εἰρημένων μυῶν οἱ ἀνατομικοί.

ιδ. Περὶ τῶν ἰδίων τοῦ λαβδοειδοῦς ὀστοῦ μυῶν [3].

Τὸ ἐπικείμενον ὀστοῦν τῇ κεφαλῇ τοῦ λάρυγγος ἔνιοι [4] μὲν ὑοειδὲς, ἔνιοι δὲ λαβδοειδὲς ὀνομάζουσιν. ἔστι δὲ ἡ μὲν εὐθεῖα [5] τῶν γραμμῶν αὐτοῦ κατὰ [6] τὸ μῆκος ἐκτεταμένον τοῦ τραχήλου ὀστοῦν, ἀτρέμα [7] πλατύ. τέσσαρες δὲ αἱ λοιπαὶ λοξαὶ, κατὰ δύο συζυγίας ἀποφυόμεναι τοῦ [8] προειρημένου· ἐκ μὲν τῶν ἄνω μερῶν ἡ ἑτέρα συζυγία λεπτῶν [9] καὶ ἰσχνῶν ὡς γραφείου περάτων, [10] ἡ λοιπὴ δὲ ἐκ τῶν κάτω [11] μετρίως πλα-

---

[1] ὑπάρχων A. [2] ἐνίοις τισὶ συνάγοντες — κλείοντες P. — Musculi arytaenoidei videntur esse. [3] ὅπερ καὶ ὑοειδὲς ὀνομάζεται add. P. O. In Codice Parisiensi hoc caput excipit capita de musculis summae manus et clavicularum male interposita, quod ultimum in versione latina Venet. 1625. duodecimum antecedit alterum. Sequor Codices Ambrosianum atque Escorialensem Oribasiumque, qui haec capita suo quodque loco postea inserunt. [4] μὲν om. P. [5] τῶν γραμμῶν om. A. lacuna. αὐτοῖς A. [6] τὸ om. A. ἐκτεταμένη A. τεταγμένη P. extensa G. [7] πλατὺν A. E. [8] προειμέρους P. λοξαὶ — ἀποφυόμεναι om. A. lacuna. [9] τε add. P. γραφείῳ A. γραφίου E. [10] οἱ λοιποὶ δὲ E. ἡ ἑτέρα δὲ A. [11] μερῶν add. P.

τέων. [1] ἀλλ' αἱ μὲν ἰσχναὶ δύο πλευραὶ διὰ συνδέσμων στρογγύλων καὶ λεπτῶν τοῖς πέρασι τῶν βελονοειδῶν ἐκφύσεων συνδοῦνται. [2] τὰς λοιπὰς δὲ δύο τὰς κάτω συνάπτουσιν [3] ἰσχυροὶ δεσμοὶ παρὰ τὸν ἀρυταινοειδῆ χόνδρον. καὶ μὴν καὶ δύο μύες πλατεῖς τῇ κάτω γένυι συνάπτουσι [4] τὸ ὑοειδὲς ὀστοῦν, ἐκ μὲν τῶν πλαγίων μερῶν τῆς εὐθείας [5] αὐτοῦ γραμμῆς ἐκφυόμενοι, καταφυόμενοι δὲ εἰς τὰ πλάγια μέρη τῆς γένυος μετὰ τὴν τῶν ἰδίων [6] αὐτῆς μυῶν ἔκφυσιν. ἄλλοι δὲ δύο μύες ἐπ' ἄκραν ἥκουσι τὴν γένυν ἀλλήλοις [7] ἐπιζευγνύμενοι. ἀρχὴ δ' αὐτῶν ἐστι τὸ ἄνω πέρας τῆς [8] ὀρθίας γραμμῆς [9] τοῦ λαβδοειδοῦς. ἕτεροι δὲ δύο μύες ἐκ μὲν τῆς ῥίζης ἄρχονται τοῦ γραφοειδοῦς, ἐμπεφύκασι δὲ [10] τῆς ὀρθίας γραμμῆς τοῦ λαβδοειδοῦς τῷ κάτω πέρατι καθ' ἑκάτερον μέρος εἷς. αὗται [11] μόναι αἱ τρεῖς συζυγίαι [12] μυῶν αὐτοῦ τοῦ λαβδοειδοῦς εἰσιν ἴδιαι, βραχείας τινὰς αὐτῷ διδοῦσαι κινήσεις, ἡ μὲν ἀπὸ τῆς βάσεως τῶν βελονοειδῶν [13] ἐκφύσεων ἀρχομένη πρὸς τὴν ὀπίσω χώραν ἀπάγουσα, αἱ λοιπαὶ δὲ ἐπὶ τὰ πλάγια τῆς γένυος διορίζουσαι

---

[1] ἄλλαι P. συνδέσμου στρογγύλου καὶ λεπτοῦ A. E. [2] τὰς δὲ λοιπὰς P. [3] ἰσχυρῶς P. valide G. [4] τοῦ ὑοειδοῦς ὀστοῦ E. [5] αὐτῶν P. αὐτοῦ in mg. [6] μυῶν αὐτῆς A. — Mylohyoideus. [7] ἐζευγμένοι O. [8] εὐθείας P. [9] τῆς E. — Geniohyoideus. [10] ταῖς ὀρθίαις γραμμαῖς P. G. ἕτεροι — λαβδοειδοῦς om. A. — Stylohyoidei. [11] μὲν P. [12] τῶν μυῶν αὐτοῦ μόνου τοῦ P. [13] ἐκφύσεων om. A. P.

καὶ πρὸς τὴν γένυν ἀνατείνουσαι· οἱ δὲ ἄλλοι μύες [1] ἀπὸ τοῦ ὑοειδοῦς ὀστοῦ πεφυκότες ἑτέρων ἕνεκα γεγόνασι μορίων, [2] οἱ μὲν εἰς τὰς ὠμοπλάτας [3] ὑπὲρ τοῦ κινεῖν ἐκείνας, ὡς ἔμπροσθεν εἶπον, οἱ δ' [4] εἰς τὴν γλῶσσαν, ὡς καὶ περὶ ταύτης εἰρήσεται. καί λοιπὸς ἐπ' [5] αὐτοῖς ὁ κατὰ τῆς φάρυγγος ἔξωθεν ἐπιβεβλημένος, εἴθ' ἕνα τις αὐτὸν [6] ἐθέλει διφυῆ προσαγορεύειν εἴτε δύο παραφυομένους ἀλλήλοις, ὅπερ ἄμεινον εἶναί μοι δοκεῖ. προσστέλλουσιν [7] οὗτοι τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸ [8] λαβδοειδὲς ἀντισπῶσιν.

ιε'. Περὶ τῶν τὴν γλῶσσαν κινούντων μυῶν.

[9] Ὡς μὲν ὁ διδάσκαλος ἡμῶν Πέλοψ ἐν γλώττης [10] ἀνατομῇ γράφει, μύες ἑξκαίδεκα βοείας εἰσὶ γλώττης. ἡμῖν δὲ νῦν, ὡς ἐν ἀρχῇ προείρηται, γυμνασθῆναι πρόκειται περὶ [11] πιθήκειον σῶμα διὰ τὴν πρὸς ἄνθρωπον ὁμοιότητα. τῶν τοίνυν [12] τὴν γλῶσσαν κινούντων μυῶν οἱ μὲν δύο ἀπὸ τῶν βάσεων τῶν βελονοειδῶν [13] ἐκφύσεων ἀρχό-

---

[1] οἱ ἀπὸ P. ἕνεκεν P. [2] μᾶλλον add. P. O. [3] ὑπὲρ om. A. — Coraeohyoideos falso dicit Galenus movere scapulas. Vesal. II. 17. [4] ἐπὶ P. [5] αὐτῆς A. [6] ἐθέλοι O. προςαγ. διφυῆ P. διφυεῖς A. προςαγορεύει A. εἴτε δύο παραφυομένους om. A. lacuna. [7] δὲ add. P. O. [8] χροδοειδὲς A. ἀντισπῶσι κάτω O. [9] ὡς μὲν om. A. Πέλωψ A. [10] ἀνατομαῖς E. [11] πιθήκων εἰς P. πιθήκιον E. [12] κιν. τὴν γλ. P. δύο μὲν P. [13] ἐμφύσεων ἀρξάμενοι P. O.

μενοι, στενοὶ καὶ μακροὶ, προήκοντες εἰς τὰ πλάγια μέρη τῆς γλώττης ἑκατέρωθεν εἰς [1] ἐμφύονται, λοξῶν κινήσεων ἐξηγούμενοι· οἱ δὲ ὑπόλοιποι πάντες ἐκφύονται μὲν ἐκ τοῦ περιέχοντος ὀστοῦ τὴν κεφαλὴν τοῦ λάρυγγος, ὃ καλοῦμεν ὑοειδές τε καὶ λαβδοειδές. ἐμβάλλουσι δ' εἰς τὴν γλῶσσαν [2] τέσσαρες μὲν κατὰ δύο συζυγίας, ἐναργῶς κινοῦντες αὐτήν· ὁ πέμπτος δὲ ὁ διφυὴς, ἐκ τοῦ [3] ἄνω πέρατος ἀρχόμενος τῆς εὐθείας γραμμῆς τοῦ ὑοειδοῦς, ὑποπέφυκε τῇ γλώττῃ κατὰ τὸ μῆκος αὐτῆς ἀφικνούμενος ἕως ἄκρας τῆς κάτω γένυος ἐπὶ τὸ καλούμενον γένειον, ἔνθα συμπέφυκεν αὐτῆς τὰ ὀστᾶ. οὗτος ὁ μῦς ἀντισπᾷ μὲν ἄνω [4] τὸ ὑοειδὲς, ἀντιτεταγμένος τοῖς κατασπῶσιν ἐπὶ τὸ στέρνον αὐτό· σαφῆ δὲ οὐδεμίαν ἐπὶ τῆς γλώττης ἐργάζεται κίνησιν, ἀλλ' οἱ [5] ἐναργῶς αὐτὴν κινοῦντες οἱ λοιποὶ τέσσαρές εἰσιν. [6] ἐκφύονται δὲ οἱ δύο μὲν ἐκ τῶν ἄνω μερῶν τοῦ ὑοειδοῦς ὅθεν περ καὶ ὁ προειρημένος μῦς ὁ διφυὴς, ἤδη πως ἐν τοῖς πλαγίοις αὐτοῦ μᾶλλον· οἱ δὲ ὑπόλοιποι δύο τούτων ἐφεξῆς [7] εἰσιν ἐκ τῶν πλαγίων τῆς [8] ὀρθίας γραμμῆς τῶν ταπεινῶν αὐτοῦ πλευρῶν· ἐμφύονται δε οἱ [9] μεί-

---

[1] συμφύονται O. — Styloglossi. [2] οἱ add. P. O. [3] ἄνωθεν P. [4] τῇ γενειάδι P. τὸ ὑοειδὲς in mg. sursum ad maxillam retrahit G. ἀντιτεταμένος A. [5] γε add. P. O. [6] ἐμφύονται A. [7] εἰσὶν om. P. ἔκ τε τῶν P. [7] εὐθείας P. [9] μὲν add. P. O. ἀλλήλων ψαύοντεςom. A. lacuna.

ζους εἰς τὴν μέσην χώραν τῆς γλώττης ἀλλήλων ψαύοντες ἄχρι παντὸς, ἐξήκουσι [1] δὲ πρὸς τὸ δεδεμένον αὐτῆς τὸ πρόσω· οἱ δ' ἐλάττους εἰς τὰ πλάγια [2] μεταξὺ τούτων τε καὶ τῶν [3] ἀφ' ἑκατέρας βάσεως τῆς βελονοειδοῦς ἐκφύσεως ἡκόντων. αἱ κινήσεις δὲ [4] ἑκάστου τούτων ἀνάλογοι τῇ θέσει, λοξαὶ μὲν τῶν λοξῶν, εὐθεῖαι δὲ τῶν εὐθειῶν, ὥςπερ [5] καὶ τῶν πρώτων ῥηθέντων [6] πλάγιαι. καὶ δὴ [7] καλείσθωσαν ἕνεκα σαφοῦς διδασκαλίας οἱ μὲν ἀπὸ τῶν βελονοειδῶν ἐκφύσεων ἀνιόντες μύες πλάγιοι, λοξοὶ δὲ οἱ τῶν λοξῶν μερῶν ἀποφυόμενοι τοῦ λαβδοειδοῦς, εὐθεῖς δὲ οἱ τοῦ ἄνω πέρατος. ὑποβέβληνται δὲ τοῖς εἰρημένοις ἅπασι μυσὶν ἐκ τῶν κάτω μερῶν οἱ τὰς ἐγκαρσίας ἔχοντες ἶνας, [8] ὑποπεφυκότες μὲν ὅλῃ τῇ γλώττῃ, καταφυόμενοι δ' εἰς τὸ τῆς γένυος ὀστοῦν σχεδὸν ὅλον πλὴν τοῦ γενείου· δύνανται δὲ οἱ μύες οὗτοι [9] ταθέντες ἐπᾶραί τε καὶ κυρτῶσαι τὴν γλῶσσαν.

ις'.

---

[1] τε A. E. O. δεδεγμένον E. αὐτῇ A. fraenulum linguae. [2] μετὰ γοῦν A. [3] ἐφ' A. O. P. in mg. — Hyoglossi partes et genioglossus. [4] ἑκάστῳ A. ἑκάστων E. [5] γε add. P. [6] πλαγίων add. P. G. [7] καὶ add. P. [8] ἀποπεφυκότες P. G. ὅλοι A. [9] ταθέντες om. P. G. — Myloglossi sunt musculi, nisi fallor.

ιϛʹ. Περὶ τῶν [1] τῆς φάρυγγος μυῶν.

Χώρα τις πρόκειται κοινὴ στομάχου τε καὶ [2] λάρυγγος, εἰς ἣν ἑκατέρου τὸ [3] στόμιον ἀνήκει. καλοῦσι δὲ αὐτὴν μὲν τὴν χώραν ἰσθμὸν, ἐπειδὴ στενὴ καὶ προμήκης ἐστὶ, τὸ περιέχον δὲ αὐτὴν σῶμα φάρυγγα, καθ' ἣν ἑκατέρωθεν εἷς ἐστι μῦς ἔν τε τῷ φωνεῖν καὶ καταπίνειν ἐνεργῶν· ἡ κεφαλὴ δὲ αὐτῶν πλησίον τέτακται τοῖς κάτωθεν ἀνιοῦσιν εἰς τὰ πλάγια τῆς γλώττης μυσίν.

ιζʹ. Περὶ τῶν [4] τὸν τράχηλον κινούντων μυῶν.

Οἱ μὲν οὖν [5] τραχήλου τε καὶ κεφαλῆς κοινοὶ μύες ἔμπροσθεν εἴρηνται, τρεῖς μὲν αἱ πρῶται συζυγίαι τῶν ἓξ τῶν κατ' ἰνίον, ἑτέρα δὲ μία τῶν ὑποβεβλημένων τῷ στομάχῳ· συνελόντι γὰρ εἰπεῖν, ὁπόσοι τῆς κεφαλῆς ἐκφυόμενοι τῷ τραχήλῳ παντὶ [6] καταφύονται, [7] κινοῦσιν ἄμφω τὰ μόρια. περὶ δὲ τῶν ἰδίων τοῦ τραχήλου μυῶν ἐν τῷδε ῥηθήσεται. δύο [8] δὲ καθ' ἑκάτερον αὐτοῦ μέρος εἰσὶν, ὁ μὲν ὀπίσθιός πως μᾶλλον, ὁ δὲ

---

[1] τοῦ E. [2] τοῦ add. E. φάρυγγος P. in mg. O. [3] στόμιον correctum in στόμα P. στόμα A. O. Constrictor pharyngis superior. [4] τὸν om. P. [5] κοινοὶ τραχ. A. τε om. P. μύες κοινοὶ P. [6] καταφύονται — — ἐπειδὰν ἀφέλῃς in capite de humeri musculis om. A. Folium desideratur in Cod. Ambrosiano. [7] κινοῦντες E. [8] δὲ om. P. O. μέρος αὐτοῦ P.

ἐμπρόσθιος· ἐκφύεται δὲ ὁ μὲν ὀπίσθιος ἐκ τῆς πλαγίας ἐξοχῆς τοῦ πρώτου σπονδύλου κατ' αὐτὸ μάλιστα τὸ κυρτότατον αὐτῆς. [1] ἐν γὰρ τῷ πρόσω μᾶλλον ὁ ἐπὶ τὴν [2] ῥάχιν τῆς ὠμοπλάτης ἀνατεινόμενος, ὑπὲρ οὗ [3] πρόσθεν εἶπον, ἔχει τὴν ἔκφυσιν· ὁ δὲ ὀπίσθιος τοῦ τραχήλου μῦς οὗτος, ὑπὲρ οὗ νῦν πρόκειται λέγειν, ἄχρι τῆς ὠμοπλάτης καθήκει [4] ἐκπεφυκὼς ἐξ ἁπάντων τῶν σπονδύλων διὰ συνδέσμων ἰσχυρῶν, ὡς δοκεῖν πολλοὺς εἶναι μῦς, καὶ τὸ κάτω πέρας αὐτοῦ συνεχὲς ἀκριβῶς ἐστι τῷ κατὰ τὰ σιμὰ τῆς ὠμοπλάτης τοῦ θώρακος μυΐ. ὁ δὲ ἕτερος ὁ πρόσθιος τοῦ τραχήλου μῦς [5] ἄρχεται μὲν ἐκ τῆς διατετρημένης ἀποφύσεως τοῦ δευτέρου σπονδύλου, συνεκφύεται δὲ καὶ [6] τῶν ἄλλων τῶν κατὰ τὸν τράχηλον· ἐντεῦθεν δὲ διὰ τῶν μασχαλῶν ἄχρι τῆς πέμπτης πλευρᾶς [7] ἀφικνεῖται τοῦ θώρακος ψαύων ἔστιν ὅτε καὶ τῆς ἕκτης. καταφύεται δέ [8] τις μοῖρα καὶ εἰς τὴν πρώτην αὐτοῦ πλευρὰν τὴν ἐφεξῆς

---

[1] ἐκ γὰρ τῆς πρόσω P. O. G. ὁ om. E. O. [2] ἀρχὴν P. in mg. O. [3] ἔμπροσθεν P. [4] ἐμπεφυκὼς P. — Musculus transversalis cervicis. [5] οὗτος add. P. [6] τοῖς ἄλλοις τοῖς P. Genit. in mg. [7] τῷ θώρακι ἀφικν. P. [8] τινὶ μοίρᾳ O. τῇ μοίρᾳ. P. in mg. — Anticus hic musculus inter thoracem moventes apud Vesalium tertius est (II. 35.), cani simiaeque communis, quo homines destituuntur. Galeni descriptio neque in scalenos neque in serratum posticum superiorem apprime quadrat. Neque apud recentiores anatomiae comparatae scriptores hunc musculum invenio.

τῇ κλειδί. στογγύλος πως μᾶλλον ὁ [1] μῦς οὗτός ἐστι καὶ μακρός. ἐνέργεια δὲ αὐτοῦ, [2] καθὰ μὲν ἐπιπέφυκε τῷ τραχήλῳ, κάμπτειν [3] τοῦτον ὡς ἐπὶ τὸ πρόσω λοξόν· καθὰ δ' εἰς [4] τὰς πλευρὰς τοῦ θώρακος ἀφικνεῖται, διαστέλλειν ἐκεῖνον, ὅθεν ἄμεινον ἤτοι δύο μῦς ἀλλήλοις ἡνωμένους [5] ὁμοίως τοῖς προειρημένοις ὑπολαμβάνειν αὐτοὺς ἢ εἴπερ ἕνα χρὴ [6] τίθεσθαι, τοῦ θώρακος νομίζειν αὐτόν. [7] ἐκεῖνον μὲν γὰρ ἐναργῶς φαίνεται διαστέλλων, τὸν τράχηλον δ' ἐπινεύων [8] οὐχ ὁμοίως ἐναργῶς φαίνεται. ἀντιτεταγμένην δὲ αὐτῷ κίνησιν ὁ προειρημένος ἔχει κάμπτων [9] καὶ αὐτὸς εἰς τὰ πλάγια καὶ πρὸς τοὐπίσω [10] μᾶλλον ὅλον τὸν τράχηλον. εἰ δὲ ἀμφότεροι ταθεῖεν ἅμα, τὴν μέσην [11] καμπὴν ἐπὶ τὰ πλάγια τοῦ σύμπαντος ἐργάζονται τραχήλου· εἰ δὲ οἱ πρόσθιοι μύες μόνοι ταθεῖεν [12] ἑκατέρωθεν ὅ, τε ἐκ τῶν δεξιῶν καὶ [13] ὁ ἐκ τῶν ἀριστερῶν, ὅλον εἰς τὰ πρόσω τὸν τράχηλον ἐπινεύειν ἀναγκάζουσιν· [14] εἰ δὲ οἱ ὄπισθεν, ἀνανεύουσιν ὅλον ὀπίσω. εἰ δὲ καὶ πάντες ἅμα ταθεῖεν οἱ τέσσαρες, [15] ἀκαμπὴς εἰς

---

[1] οὗτος ὁ μῦς P. [2] καθαρὰ P. καθ' ἃ O. [3] αὐτὸν P. in mg. O. [4] τοὺς σπονδύλους P. in mg. O. [5] ἅμα P. ὁμοίως in mg. [6] τιθέναι P. [7] ἐκεῖνος P. O. διαστέλλων τὸν θώρακα add. P. O. [8] αὐτὸς add. P. [9] δὲ add. E. [10] βάλλων loco μᾶλλον O. [11] καμπτὴν P. [12] οἱ add. P. O. [13] ὁ om. E. [14] ὁ δὲ P. ἀνανεύειν P. O. G. [15] ἀκαμπῆ E. Scripsi ἀκαμπής. ἰσόῤῥοπος P. ἀῤῥεπὴς in mg. O.

ἅπαντα τὰ [1] μόρια γίγνοιτ' ἂν οὕτως ὁ τράχηλος, ὡς κἂν τῷ πάθει τῷ τετάνῳ συμβαίνει.

ιη'. Περὶ [2] τοῦ κατὰ τὰ σιμὰ τῶν ὠμοπλατῶν τὸν θώρακα διαστέλλοντος μυός.

Τὸν διαστέλλοντα τὸν θώρακα μεγάλην διαστολὴν μῦν, ἕνα καθ' ἑκάτερον ὑπάρχοντα μέρος, εἴτε κοινὸν τῆς ὠμοπλάτης καὶ θώρακος ὀνομάζειν [3] ἐθελήσει τις, εἴτε τοῦ θώρακος μόνου [4] τῶν κατ' ὠμοπλάτην, οὐ διοίσει. ἐκφύεται δ' [5] ἐκ τῆς βάσεως αὐτῆς ἐπιτεταμένος ἅπαντι τῷ [6] σιμῷ. τουτὶ μὲν οὖν αὐτοῦ κατακέκρυπται τὸ μέρος, ὥςτ' οὐκ ἂν αὐτὸ [7] θεάσαιο, πρὶν ἀφελεῖν τὴν ὠμοπλάτην· τὸ δὲ ἀπὸ τοῦδε σύμπαν ἐστὶ φανερὸν, ἐπιπεφυκὸς τῷ θώρακι μέχρι τοῦ καθήκοντος ἐπὶ τὴν ἕκτην [8] πλευρὰν ἀπὸ τοῦ τραχήλου μυὸς, ἀλλὰ καὶ τῶν νόθων πλευρῶν [9] ἐπεμβαίνει δυοῖν ὁ μῦς οὗτος ἐγγὺς ἤδη τῶν χονδρωδῶν ἀποφύσεων. ἔστι δὲ οὐ συνεχὴς αὐτοῦ ἡ κατάφυσις, ἀλλ' οἷον εἰς μικρούς τινας ἐσχισμένη μῦς, ἕνα καθ' ἑκάστην πλευράν. ἐφεξῆς δὲ τοῖς τούτου πέρασιν ἅπασι τοῖς πρόσω,

---

[1] *μέρη* P. *γένοιτ'* P. O. *οὗτος* P. *οὕτως* in mg. *κἂν τῷ τετ. συμβ. πάθει* P. [2] *τὸν διαστέλλοντα μῦν* P. [3] *ἐθελήσειε* P. O. [4] *τὸν* E. P. in mg. O. *μόνου* om. O. [5] *ἀπὸ* P. O. *ἐπιτεταμένης* E. [6] *θώρακι* A. E. P. *σιμῷ* P. in mg. O. [7] *θεάσαις* P. [8] *πλευρὰν μυὸς ἀπὸ* P. [9] *ἐπιβαίνει* P. O.

τὴν ἀρχὴν τῆς ἐκφύσεως ὁ μέγιστος ἔχει τῶν κατ' [1] ἐπιγάστριον μυῶν ἐσχισμέναις ὁμοίως καὶ αὐτὸς ἐκφύσεσιν ἀνηρτημένος.

ιθ'. Περὶ τῶν τὸ κατ' ὦμον ἄρθρον κινούντων μυῶν.

Ἐπειδὰν [2] ἀφέλῃς τούς τε κινοῦντας τὴν ὠμοπλάτην μῦς καὶ μετ' αὐτοὺς [3] τὸν ἐν τοῖς σιμοῖς αὐτῆς, ὃν ἄρτι διῆλθον, [4] εὐφωρότατον ἤδη τὸν ἀριθμὸν ἁπάντων τῶν κινούντων τὸν βραχίονα μυῶν ἕξεις. ὄντων γὰρ ἁπάντων ἕνδεκα, τρεῖς μὲν ἀπὸ τοῦ στήθους ἐπ' αὐτὸν ἀναφερομένους [5] θεάσῃ, δύο δ' ἐκ τῶν κατὰ τὰς λαγόνας χωρίων, πέντε δ' ἐξ αὐτῆς τῆς ὠμοπλάτης [6] ὁρμωμένους, ἑνδέκατον δ' ἐπὶ τούτοις ἅπασι τὸν τὴν ἐπωμίδα κατειληφότα, [7] ὃν καὶ δελτοειδῆ λέγουσι. τὸν γὰρ μικρὸν μῦν, τὸν κατὰ τὴν διάρθρωσιν, ἐξαίρω τοῦ παρόντος λόγου. πρῶτον μὲν οὖν ἁπάντων [8] ἀνατέμνειν χρὴ τόν τε ἀπὸ τοῦ στήθους ἀναφερόμενον τὸν μέγαν καὶ [9] τὸν τὴν ἐπωμίδα κατειληφότα. καὶ γὰρ συμφυεῖς [10] ἀλλήλοις

---

[1] ὑπογάστριον E. P. ἐπιγάστριον P. in mg. ἐσχισμένων E. — Serratus anticus major. [2] ἀφέλῃ A. μύας A. [3] τοὺς — οὓς A. E. σιμοῖς αὐτοῖς A. [4] εὐφορώτατον A. E. O. ἀφορώτατον P. Scripsi εὐφωρότατον. [5] θεάσει O. [6] ὁρμημένους O. εἰρημένους A. [7] ὃν — κατειληφότα om. P. G. ὃν — λέγουσι om. O. [8] χρὴ ἀνατέμ. A. [9] τὸν om. E. [10] ἀλλήλων E.

εἰσὶν οὗτοι κατὰ τὴν [1] τῆς ὠμιαίας φλεβὸς χώραν καὶ τὰς ἀπονευρώσεις ἐγγὺς ἀλλήλων εἰς τὸν βραχίονα καταφύουσι κατωτέρω τῆς κεφαλῆς εἰς τὸ πρόσθιον [2] μέρος αὐτῆς κατ' εὐθεῖαν μάλιστα γραμμὴν ἄνωθεν κάτω τεταγμένην, [3] ἰσχνοτέραν μὲν ὁ ἀπὸ τοῦ στέρνου, στρογγυλωτέραν δέ πως καὶ σαρκώδη κἀκ τῶν ἔξω τοῦδε μερῶν ὁ ἀπὸ τῆς ἐπωμίδος. ἡ δὲ ἀρχὴ τῆς ἐκφύσεως [4] τούτου μὲν ἥ τε κλείς ἐστι καὶ ἡ ῥάχις τῆς ὠμοπλάτης καὶ τὰ ἐπιπολῆς χωρία [5] μετὰ τὴν ῥάχιν ὀλίγου δεῖν ἅπαντα τῆς ὠμοπλάτης, ὅσα πρὸς τὴν ταπεινὴν [6] ἐν αὐτῇ ῥέπει πλευράν· τοῦ δ' ἑτέρου τὸ τοῦ στέρνου [7] σύμπαν ὀστοῦν. ἐντεῦθεν δὲ ὁρμηθέντες ὁ μὲν οἷον ἐσχισμένος ἀμφὶ τὸ ἀκρώμιον ἅπασαν κατείληφε τὴν κεφαλὴν τοῦ βραχίονος· ὁ δέ γε τῇ τε ὠμιαίᾳ φλεβὶ [8] παρατέταται καὶ τὸ πρόσω τῆς μασχάλης τὸ [9] μυῶδες αὐτὸς ἐργάζεται καὶ σχεδὸν [10] ἅπαν τὸ περὶ τὰ στήθη σαρκῶδες οὗτος ὁ μῦς ἐστι· καὶ γὰρ καὶ [11] ὁ τιτθὸς ἐπ' αὐτοῦ τέτακται. ἄμεινον δὲ δύο

---

[1] ἀνιαίαν A. [2] μέρος om. P. αὐτοῦ P. [3] ἰσχνότερος — στρογγυλώτερος — σαρκώδης A. E. [4] τούτων P. [5] τὰ add. P. [6] αὐτῆς A. [7] ἅπαν P. — Deltoideus et pectoralis uterque. [8] παρατέτακται A. τὰ πρόσω E. [9] τὸ μὴ ἐκφύειν αὐτὸς P. [10] ἅπαντα τὰ — σαρκώδη P. στήθη· σαρκώδης E. — Plures in simiis musculi pectoralis majoris sunt portiones. Cuvier leçons etc. I. p. 272. Quadrupedum musculus humeri cutaneus et ipse hic a Galeno describitur. Vesal. II. 23. Adm. anat. V. 1. [11] ὅτι τῆς ὑπ' P. atque

[1] μῦς αὐτὸν [2] καὶ οὐχ ἕνα τίθεσθαι. ὁ [3] μὲν οὖν ἀπὸ τῶν [4] κάτω τοῦ στέρνου πεφυκὼς [5] ὁ μικρότερος τῶν ἐν αὐτῷ μυῶν ἀντεστραμμένας πως ἔχει [6] τῷ ἄλλῳ παντὶ τὰς ἶνας· εἰς γὰρ τὸ ἄνω μέρος ἀναφέρονται πρὸς τὴν [7] οἰκείαν ἀπονεύρωσιν ἀρχόμεναι κάτωθεν· αἱ δὲ [8] ἄλλαι πᾶσαι τὴν μὲν ἔκφυσιν ἀνωτέρω τούτων ἔχουσιν ἐξ αὐτοῦ τοῦ στέρνου, φέρονται δ' ἐπὶ τὴν ἀπονεύρωσιν ἐγκάρσιαι μὲν αἱ τῶν ὑψηλῶν τοῦ στέρνου μερῶν [9] ἐκφυόμεναι, λοξαὶ δὲ ἀτρέμα αἱ τῶν ταπεινῶν. τῶν [10] δὲ ἄλλων δυοῖν ὁ μὲν ἕτερος ἀπὸ τῆς ἔξω τε καὶ [11] κατωτέρω τοῦ τιτθοῦ [12] χώρας ὁρμώμενος κατὰ μὲν τὰ πλεῖστα μέρη συμφυής ἐστι τῷ προειρημένῳ τῷ διφυεῖ τε καὶ μεγάλῳ. τελευτῶν δ' εἰς ὑμενώδη τένοντα καταφύεται τοῖς πρόσω τοῦ βραχίονος εἰς αὐτὴν μάλιστα τὴν [13] ἐμπροσθίαν ὀφρὺν τῆς κοιλότητος, [14] ἣν κατείληφεν ἡ μείζων κεφαλὴ τοῦ κατὰ τὸν βραχίονα μυὸς τοῦ παρεκτεταμένου κατὰ τὴν ἔνδον χώραν τῇ [15] προφανεῖ κατ' αὐτὸν φλεβί. ὁ δὲ

---

ab ipso toto pectore exoritur. G. Vertas: et ipsa quidem mamma ei est superimposita.

[1] μύας P. [2] καὶ om. P. [3] ὁ γοῦν P. [4] ἐκ P. [5] καὶ μικρότατος A. [6] τῇ ὠμοπλάτῃ P. [7] ἰδίαν P. [8] λοιπαὶ P. [9] ἀποφυόμεναι P. ἐκφ. μερῶν A. [10] δὲ om. E. [11] κάτω τοῦτι τοῦ P. Vir doctus conjectura τούτου τοῦ hunc locum sanaturus rem acu parum tetigit. κατωτέρου E. [12] χωρίου A. [13] προσθείαν A. προσθίαν P. [14] ἧς P. [15] προσφανεῖ A.

ἕτερος μῦς, ὃς οὐδὲ φαίνεται πρὶν ἀνατμηθῆναι τὸν μέγαν, ἀπὸ τῶν ἄνω μερῶν [1] τοῦ στέρνου γενόμενος, [2] ἐκφύεται μὲν ἔκ τε τοῦ δευτέρου καὶ [3] τρίτου καὶ τετάρτου καὶ πέμπτου καὶ ἕκτου τῶν ὀστῶν, ἀνέρχεται δ' εἰς αὐτὸ τὸ ὑψηλότατον τῆς ἑτέρας κεφαλῆς τοῦ βραχίονος [4] τὸ πρὸς τῇ κλειδὶ, κἀντεῦθεν ἐμφύεται τῷ περὶ [5] τὸ ἄρθρον ὑμενώδει συνδέσμῳ, πολὺ τοῦ προειρημένου μυὸς ἰσχυροτέραν ἔχων τὴν [6] ἀπονεύρωσιν. δύο δὲ οἱ κάτωθεν [7] ἀναφερόμενοι μύες, ὧν ὁ μὲν ἁπάντων ἁδρότατός τε καὶ μήκιστός ἐστι τῶν τὸν βραχίονα κινούντων μυῶν, ὁ δὲ ἰσχνότατος, [8] οὐχ ἥττων [9] δ' ἐκείνου τὸ μῆκος. οὗτος μὲν οὖν εἰκότως ἠγνόηται τοῖς ἀνατομικοῖς [10] ἐναφανιζόμενος τῷ δέρματι κακῶς ἀποδερομένῳ. περὶ δὲ τοῦ μεγάλου πάντες ἔγραψαν οἱ μὲν [11] μᾶλλον, οἱ δὲ ἧττον ἀκριβώσαντες αὐτοῦ τῷ λόγῳ τὴν φύσιν. ὁ μὲν οὖν ἰσχνὸς ἔκ τε τοῦ κατὰ [12] τὴν λαγόνα καὶ τὰς νόθας πλευρὰς [τοῦ] δέρματος ἀναφερόμενος, ἐξ [13] αὐτοῦ μάλιστα τῶν ὑμένων τῶν ὑπὸ τὸ δέρμα τὴν ἔκφυσιν ἔχει, ἀεὶ δ' ἐν τῷ [14] πρὸς τὴν μασχάλην ἀναφέρεσθαι

---

[1] τοῦ στέρνου om. P. G. γενόμενον A. [2] ἐμφύεται P. [3] τοῦ τρίτου καὶ τοῦ E. [4] τῷ A. περὶ τῇ κλειδί E. [5] τῷ ἄρθρῳ A. [6] ἀπόδειξιν P. ἀπονεύρωσιν in mg. [7] ἀναφυόμενοι E. [8] μὲν add. P. [9] τε P. [10] ἐμφανιζόμενος A. ἐποδερομένῳ P. [11] μᾶλ. ἀκριβ. αὐτ. τῷ λόγῳ τὴν φ. οἱ δὲ ἧττον P. [12] τὸν E. [13] αὐτῶν P. ὑπὸ τῷ δέρματι P. [14] περὶ P. προσκτώμενον A.

πάχος τι προσκτώμενος κἀνταῦθα ἤδη [1] σαφὴς μῦς φαινόμενος εἰς ὑμενώδη τένοντα τελευτᾷ, κατὰ δυοῖν ἐποχούμενος ἑτέρων, οἷς καὶ συμφύεται· γεννᾶται δ' [2] ὁ μὲν αὐτῶν ἐκ τοῦ ταπεινοτάτου τῶν ἀπὸ τοῦ στήθους μυῶν, ὁ δ' ἐκ τῆς ἑτέρας μοίρας τοῦ διφυοῦς. ὁ δὲ ὑπόλοιπος τῶν κάτωθεν [3] ἀναφερομένων μυῶν ἐπὶ τὴν κατ' ὦμον διάρθρωσιν, [4] ὅσπερ καὶ μέγιστός ἐστιν, ἄρχεται μὲν ἐκ τῶν κατὰ τὰς νόθας πλευρὰς σπονδύλων, ἐπιπεφυκὼς [5] δὲ τῷ τε ῥαχίτῃ μυὶ καὶ τῷ πέρατι τῆς κατὰ τὴν ὠμοπλάτην [6] βάσεως φέρεται πρόσω λοξὸς ἀτρέμα, μέχρι τινὸς ἐπιπεφυκὼς τοῖς ἐπικειμένοις μυσὶ τῇ ταπεινῇ τῆς ὠμοπλάτης πλευρᾷ, κἀπειδὰν ἀφίκηται κατ' εὐθὺ τῆς μασχάλης, ὄρθιος ἐπ' [7] αὐτὴν ἀναφέρεται, κἀνταῦθα διὰ τένοντος οὐκ ἀγεννοῦς, ἠρέμα [8] πλατέος, [9] ἐμφύεται τῷ βραχίονι κατὰ τὰ ἔνδον μέρη τῆς ἀπονευρώσεως τοῦ μεγίστου [10] μυὸς τῶν ἀπὸ τοῦ στήθους τριῶν. οὗτος ὁ μῦς συμφύεται δύο μυσὶν, ἑνὶ μὲν ὑπερκειμένῳ κατὰ τὴν μασχάλην αὐτὴν, ἑτέρῳ δ' ἐπὶ τὴν κατ' ἀγκῶνα διάρθρωσιν ἀφικνουμένῳ, περὶ ὧν ἐν τοῖς ἑξῆς εἰρήσεται· οἱ δὲ ἀπ' αὐτῆς τῆς ὠμοπλάτης [11] ἐκφυόμενοι [12] πέντε

---

[1] σαφῶς P. [2] αὐτῶν ὁ μὲν A. P. [3] ἀναφερόμενος P. [4] ὥσπερ A. P. in mg. [5] δὲ om. A. ῥεχίτῃ A. [6] βάσεως om. P. — Est musculus latissimus dorsi sive ani scalptor. Vesal. II. 23. [7] αὐτῆς P. [8] πλατέως E. [9] ἐμφυὼς P. [10] μυῶν E. [11] ἐμφυόμενοι A. E. P. ἐκφ P. in mg. [12] πάντες E.

μύες εἰς [1] εὐρώστους τένοντας [2] πλατεῖς πάντες τελευτῶσιν, ἐμφύονται [3] δὲ καὶ αὐτοὶ τῷ τοῦ βραχίονος [4] ὀστῷ· [5] συμφυὴς μὲν τῷ προειρημένῳ μυὶ πλησίον τῆς ἀπονευρώσεως ὁ ἐκ τῶν κάτω τῆς ταπεινῆς πλευρᾶς ἀρχόμενος, εἶτα ἐκ τῶν ὀπίσω [6] τε καὶ ἔνδον μερῶν ὑποδυόμενος τὸν βραχίονα, κἄπειτα καταφυόμενος εἰς αὐτὸν ὑψηλοτέρᾳ [7] ἅμα καὶ μακροτέρᾳ καὶ ἰσχνοτέρᾳ καὶ συνεχεῖ καταφύσει τῇ τοῦ προειρημένου μυός. αὕτη μὲν οὖν ἐκ τῶν ἔνδον [8] ἐστὶ μερῶν τοῦ βραχίονος ψαύουσα τῆς προειρημένης ἀπονευρώσεως. ἀνωτέρω δέ [9] τι ταύτης εἰς αὐτὴν ἤδη τὴν κεφαλὴν τοῦ βραχίονος [10] ἐκ τῶν ἔνδοθεν ἐμφύεται μερῶν [11] ὁ τένων τοῦ κατειληφότος μυὸς τὸ σιμὸν τῆς ὠμοπλάτης, εὔρωστός τε καὶ πλατὺς ὑπάρχων. ἡ δὲ τοῦ τὴν μεταξὺ χώραν τῆς τε ῥάχεως καὶ τῆς ὠμοπλάτης καὶ τῆς ὑψηλοτέρας πλευρᾶς κατειληφότος ἀπονεύρωσις εἰς αὐτὸ τὸ ὑψηλότατον ἐμφύεται [12] τῆς κεφαλῆς τοῦ βραχίονος, οὐ κατὰ τὸ πρὸς τῇ κλειδὶ μόριον αὐτῆς, εἰς ὅπερ ὁ προειρημένος, ἀλλ' ὅσον ἐκτὸς ἀποτέτμηκεν ἡ μείζων κεφαλὴ τοῦ κατιόντος μυὸς

---

[1] εὖρος τοὺς P. [2] πλατὺ P. πάντη E. τελευτῶντες A. P. [3] δὲ om. A. P. [4] μέρει, ὡς P. [5] συμφυεῖς A. E. G. asterisco mendi signo. [6] τε om. E. [7] τε add. P. — M. teres major. [8] μερῶν ἐστι P. [9] ἐστι P. G. [10] ὁ add. P. ἔνδον P. ἐκφύεται E. [11] ὁ om. P. — M. subscapularis. [12] τῇ κεφαλῇ P. — M. supraspinatus.

εἰς τὴν κατ' ἀγκῶνα διάρθρωσιν. συνεχὴς δὲ τῇ προειρημένῃ καταφύσει καὶ ὁ ἐκ τῶν κάτω μερῶν τῆς ἐν ὠμοπλάτῃ ῥάχεως, ὁ κατειληφὼς ἅπαν [1] τὸ μέσον χωρίον αὐτῆς τε καὶ τῆς ταπεινῆς πλευρᾶς, ἀπονεύρωσιν ποιούμενος, ἐμβάλλει τὸν τένοντα τῇ κεφαλῇ τοῦ βραχίονος ἤδη πως μᾶλλον ἔξωθεν. ὁ δὲ [2] τούτῳ συνεχὴς μῦς, καὶ τάχα ἂν [3] τι μόριον αὐτοῦ δόξας ὑπάρχειν, εἰς τὰ ἐκτὸς [4] ἀκριβῶς μέρη τοῦ βραχίονος ἐμβάλλει τὸν τένοντα, [5] ἐκφυόμενος ἀπὸ τῶν ἄνω μερῶν τῆς ταπεινῆς ἐν ὠμοπλάτῃ πλευρᾶς σχεδὸν ἐκ τοῦ [6] ἡμίσεως αὐτῆς μέρους κατὰ τὸ [7] κυρτότατόν τε καὶ ὀξύτατον [8] αὐτό. αἱ κινήσεις δὲ [9] αὐτῶν, τοῦ μὲν τὴν ἐπωμίδα κατειληφότος ἀνατείνειν ἄνω τὸν βραχίονα κατ' εὐθεῖαν μάλιστα γραμμήν, τῶν δὲ ἑκατέρωθεν [10] αὐτοῦ τῶν ἐξ αὐτῆς τῆς ὠμοπλάτης ἐκπεφυκότων ὁ μὲν κατὰ τὴν ὑψηλὴν πλευρὰν [11] ἀνατείνει μέν, ἀλλ' ἐκκλίνων ἐπὶ τὰ ἔνδον· τῶν δὲ κατὰ τὴν ταπεινὴν ὁ μὲν μείζων ἀνατείνει μὲν καὶ [12] αὐτός, ἀλλ' ἐπὶ τὰ ἐκτός, [13] ὁ δὲ ὡς μόριον αὐτοῦ λοξὸν ἀπάγει πρὸς

---

[1] τοῦ μέσω A. τὸ ἐν μέσῳ P. — M. infraspinatus. [2] τοιούτῳ P. τούτου E. [3] τὸ Codices. Scripsi τι. ὑπάρχειν om. P. [4] μέρη τοῦ βρ. ἀκρ. P. ἐμβάλλων E. [5] ἐμφυόμενος P. [6] ἡμίσεος E. αὐτοῦ A. E. [7] κυριώτατον P. gibbosissima G. τε om. P. [8] αὐτῆς A. P. — M. teres minor. [9] αὐτοῦ P. αὐτῶν δὲ E. [10] αὐτῶν E. ἐμπεφυκότων A. [11] ἀνατείνεν E. P. in textu. ἐκκλίνει A. P. in mg. ἐκκλίνειν E. ἐκκλίνων P. O. [12] αὐτὸν P. [13] ὁ δὲ — τοὐκτὸς om. E. τὰ ἐκτὸς P.

τοὐκτός. διαδέχονται δὲ τὰς κινήσεις ταύτας [1] ἔνδοθεν μὲν οἱ ἀπὸ τοῦ στήθους ἀνιόντες, εἴτε τρεῖς [2] αὐτοὺς ἐθέλεις λέγειν εἴτε τέσσαρας· ἔξωθεν δὲ ὁ ἀπὸ τοῦ κάτω πέρατος τῆς ταπεινῆς πλευρᾶς ἀναφερόμενος. τῶν μὲν [3] οὖν ἀπὸ τοῦ στήθους μυῶν ἁπάντων, προσαγόντων ἔσω τὸν βραχίονα, τὴν μὲν κεφαλὴν αὐτοῦ μᾶλλον [4] ὁ ὑψηλότατος [5] ἐπισπᾶται, τὸ δὲ ὅλον κῶλον ὡς ἐπὶ τὸ στῆθος ὁ μέγιστος ὁ διφυὴς προσάγει. ταθέντων δὲ ἀμφοτέρων ὁμοῦ τῶν κατ' αὐτὸν μυῶν [6] τοῦ τε ἄνω καὶ τοῦ κάτω, ἡ μέση γίγνεται κίνησις· εἰ δὲ ὁ ἕτερος [7] ἐνεργήσειε μόνος, ὑψηλοτέραν [8] μὲν τὴν προσαγωγὴν ὁ ὑψηλότερος ἐργάζεται, ταπεινοτέραν δὲ ὁ ταπεινότερος. ὁ δὲ παρὰ τὸν τιτθὸν [9] προσάγει τῷ στήθει τὸν βραχίονα καὶ κατασπᾷ κάτω. ἐπὶ τούτοις δὲ ὁ μὲν ἐπιπολῆς ὁ λεπτὸς [10] ὡς ἐπὶ τὰς λαγόνας ἀτρέμα πλάγιον, ὁ δὲ ὑπ' αὐτῷ μέγιστος [11] εὐθὺν ἀποτείνει παρὰ τὰς πλευρὰς τὸν βραχίονα. τούτων δ' ἐφεξῆς οἱ λοιποὶ δύο μύες ἀπ' αὐτῆς τῆς ὠμοπλάτης ἐκδέχονται περιάγοντες ἔξω τε καὶ εἰς τοὐπίσω τὸ κῶλον, ὁ μὲν ἀπὸ τῶν σιμῶν ἐκπε-

---

[1] ἔνδον A. [2] αὐτοὺς om. P. ἐθέλοις P. O. ἐθέλει A. [3] οὖν om. E. [4] ὁ om. P. O. [5] ἐπὶ τὰ νῶτα P. [6] τῶν τε ἄνω καὶ τῶν P. τοῦ ἄνω τε A. Haec verba usque ad κίνησις expuncta sunt in codice Parisiensi, quum Oribasius iis nihil nisi ὁμοτόνως ἀνατείνεται substituat. [7] ἐνεργήσει A. [8] μὲν om. P. [9] καὶ add. O. [10] ὡς om. P. [11] ἰθὺν E. εὐθὺ P.

φυκῶς τὴν κεφαλὴν αὐτοῦ περιστρέφων [1] ὀπίσω, ὁ δὲ ἀπὸ [2] τοῦ κάτω πέρατος τῆς ταπεινῆς πλευρᾶς, ἐκεῖνο μάλιστα τὸ μέρος, εἰς ὅπερ [3] ἐμφύεσθαι λέλεκται, πρὸς τοὐκτὸς [4] ἀπάγων. ἀμφότεροι δ' ἐνεργήσαντες ἅμα τὴν ἐν τῷ καλουμένῳ [5] διπλασιασμῷ περιαγωγὴν ἐργάζονται τοῦ βραχίονος.

κ'. Περὶ τοῦ μικροῦ μυὸς τοῦ κατὰ τὴν ἐν ὤμῳ διάρθρωσιν.

Μικρὸς παντάπασι μῦς [6] κατακέκρυπται τῇ διαρθρώσει, συνεκφυόμενος μὲν τῇ [7] μακροτέρᾳ κεφαλῇ τοῦ κατὰ τὸν βραχίονα μυὸς τοῦ μεγάλου, καταφυόμενος δὲ εὐθέως ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ἐν τῇ μεταξὺ χώρᾳ τῶν ἀπονευρώσεων τοῦ τε ἀπὸ τοῦ σιμοῦ τῆς ὠμοπλάτης ἐκφυομένου μυὸς καὶ προσέτι τοῦ παραφυομένου πάσῃ τῇ ταπεινῇ πλευρᾷ. [8] τοῦτον τὸν μῦν καὶ μέρος ἄν τις θείη τοῦ κατὰ τὸν βραχίονα [9] μεγάλου μυὸς, οὐ μὴν ἀλλὰ καὶ [10] καθ' ἑαυτὸν ἀνατάσει λοξῇ βραχύ τι δύναται συντελεῖν.

---

[1] εἰς τοὐπίσω P. [2] τε add. P. [3] ἐκφύεσθαι E. λέγεται A. P. om. O. ἐκφύεται O. [4] ἐπάγων P. in mg. [5] διπλασμῷ O. — Diplasiasmus fit manibus in dorso decussatis. [6] ἐγ-κατακέκρυπται P. [7] μικροτέρᾳ P. — Pars bicipitis brachii saepius ita sejuncta a mole hujus musculi dici possit. [8] τοῦτον τὸν μῦν om. E. οὐ καὶ μέρος E. μέρος μὲν P. τις ἴσως P. μέρος μὲν ἴσως ἄν τις O. [9] μυὸς τοῦ μεγάλου A. [10] καθ' ἑαυτόν· ἀνατάσει γὰρ P. G. O.

κά. Περὶ τῶν κινούντων τὴν κατ' ἀγκῶνα διάρθρωσιν μυῶν.

Ἡ κατ' ἀγκῶνα διάρθρωσις ὑπὸ τεσσάρων κινεῖται μυῶν, ἅπαν ἐν κύκλῳ τὸ τοῦ βραχίονος ὀστοῦν κατειληφότων. οἱ μὲν οὖν πρόσθιοι δύο [1] μύες κάμπτουσι τὸ ἄρθρον οὐκ εὐθεῖαν ἀκριβῶς ἑκάτερος [2] καμπὴν, ἀλλ' ὁ μὲν ἔσω παρεγκλίνων, ὁ δ' ἔξω. καταφύεται γὰρ ὁ μὲν εἰς τὸ τῆς κερκίδος ὀστοῦν, ὁ δ' [3] ἐπὶ τὸ τοῦ πήχεως, συνεπιφυόμενος ἑκάτερος καὶ τῷ περιέχοντι τὴν διάρθρωσιν ὑμενώδει συνδέσμῳ. ταθέντων δὲ ἀμφοῖν, ἡ μέση γίγνεται κάμψις ἡ τὸν καρπὸν ἐπὶ τὸ ἀκρώμιον ἀνάγουσα. ὁ μὲν οὖν ἔσω μᾶλλον κάμπτων ὁ [4] μείζων μῦς ἐναργῶς ὁρᾶται καὶ πρὸ τῆς ἀνατομῆς, ὅλον τοῦ βραχίονος κατειληφὼς τὸ πρόσθιον. [5] ἄρχεται δὲ ἀπὸ [6] τῆς ὑψηλῆς ὀφρύος τοῦ τῆς ὠμοπλάτης αὐχένος καὶ τῆς ἀγκυροειδοῦς ἀποφύσεως, [7] τῇ μὲν ὀφρύϊ διὰ συνδέσμου τινὸς ἰσχυροῦ στρογγύλου συναπτόμενος, τῇ δὲ ἀγκυροειδεῖ δι' ἑτέρου [8] λεπτοτέρου τε ἅμα καὶ ἀκριβῶς στρογγύλου· συνεκφύεται δὲ αὐτῷ [9] σαρκώδης τις οὐσία, προσεοικυῖα μυῒ μικρῷ· αὕτη μὲν [10] οὖν ὑπερβᾶσα τὸ ἄρθρον [11] ὑπὸ

---

[1] μύες om. P. O. [2] καμπτὴν P. παρεκκλίνων O. [3] εἰς P. συνεπιφυόμενον A. [4] μέσων A. ἐνορᾶται P. καὶ om. A. [5] ἀπάρχεται A. [6] τε add. P. [7] καὶ add. A. [8] συνδέσμου add. A. P. [9] σαρκοειδὴς P. μικρῷ μυῒ P. — M. biceps cum coracobrachiali. Vesal. II. 46. [10] οὖν om. A. [11] εἰς A. E.

τὴν κεφαλὴν τοῦ βραχίονος ἐμφύεται. [1] προελθὼν δ' ἐντεῦθεν ὁ σύνδεσμος δι' ἄλλης ἀρχῆς ἐμφύεται τῷ βραχίονι τῆς μέσης [2] αὐτοῦ χώρας ἀνωτέρω, καθ' ἃ μέρη αὐτὸ τὸ σῶμα [3] τοῦ μυὸς ἄρχεται γεννᾶσθαι, δεχόμενον εἰς [4] ἑαυτὸ καὶ τὸν ἕτερον σύνδεσμον· ἐντεῦθεν δὲ κατιὼν ὁ μῦς διὰ τῶν ἔμπροσθεν μερῶν τοῦ βραχίονος ἄχρι μὲν ἡμίσεως αὐτοῦ ψαύει, τὸ δὲ ἀπὸ τοῦδε μετέωρος ἐπιβεβλημένος θατέρῳ τῶν ἐνταῦθα μυῶν, [5] ἐπὶ τὴν κατ' ἀγκῶνα διάρθρωσιν ἐμβάλλει. ὁ δὲ ἕτερος [6] ἐκ τοῦ βραχίονος ἐκφύεται, τὴν μὲν ἀρχὴν ὄπισθεν ἔχων ἐγγὺς [7] τῆς κεφαλῆς τοῦ βραχίονος, [8] ἐντεῦθεν δὲ διὰ τῶν ἔξωθεν μερῶν λοξὸς ἐπὶ τὰ πρόσω [9] παραγίγνεται ἄχρι τῆς κατ' ἀγκῶνα διαρθρώσεως· ἐμφύεται δὲ [10] ὁ μῦς οὗτος εἰς τὸ τοῦ πήχεως ὀστοῦν, ὥσπερ ὁ προειρημένος ὁ μείζων εἰς τὸ τῆς κερκίδος. τῶν δ' ἐκτεινόντων τὴν κατ' ἀγκῶνα διάρθρωσιν μυῶν ἡ μὲν ἑτέρα [11] τῶν ἀρχῶν ἀπὸ τῆς ταπεινῆς ἐστι πλευρᾶς τῆς ὠμοπλάτης τοῦ ἡμίσεως, ὅσον ὡς πρὸς τὸν ὦμον ἀναφέρεται, ἡ δ' ἑτέρα μετὰ τὴν κεφαλὴν τοῦ βραχίονος ἐκ τῶν [12] ἔξωθεν αὐτοῦ

---

[1] προσελθὼν A. [2] αὐτῆς P. [3] αὐτοῦ P. [4] αὐτὸν A. αὐτὸ E. [5] εἰς P. O. [6] ἐκ τοῦ βραχίονος om. P. G. ἐμφύεται E. ἐκφ. μόνου O. μὲν τὴν P. [7] τῇ κεφαλῇ O. [8] ἐνταῦθα P. [9] παραγινόμενος O. P. [10] ὁμοίως (ὁ μῦς) A. — M. brachiaeus internus. [11] τὴν ἀρχὴν ὑπὸ P. [12] ὄπισθεν A. P. G. O. ἔξωθεν E. recte. μερῶν αὐτοῦ P. ἐμπέφυκε P.

μερῶν ἐκπέφυκε. [1] συμφυεῖσαι δὲ ἀλλήλαις αὗται μέγιστόν σοι δόξουσιν [2] ἐργάζεσθαι μῦν ἕνα, καταφυόμενον εἰς τὸν ἀγκῶνα τένοντι πλατεῖ, ἀλλ' εἰ [3] ταῖς ἄλλαις ἁπάσαις ἄνωθεν ἐκφύσεσιν [4] ἕποιο κατὰ τὴν τῶν ἰνῶν εὐθύτητα, [5] φαίνεταί σοι διφυὴς ὁ τένων οὗτος, τὸ μὲν [6] ἔξω μέρος ἀπὸ τοῦ προτέρου ῥηθέντος ἔχων μυὸς, τὸ δ' ἕτερον ἀπὸ τοῦ δευτέρου· ἐκτείνουσι μὲν [7] οὖν οἱ μύες ἀμφότεροι τὴν κατ' ἀγκῶνα διάρθρωσιν, ἀλλ' ὁ μὲν πρότερος ἅμα τῷ παρεγκλίνειν ἐκτὸς, ὁ δ' ἕτερος εἴσω καὶ οὗτος ἐπὶ βραχὺ [8] λοξὴν ποιεῖται τὴν ἔγκλισιν. ἡ δὲ περιπεφυκυῖα τὸ τοῦ βραχίονος ὀστοῦν μοῖρα τοῦ δευτέρου [9] μυὸς, — ἔστι γάρ ὥσπερ τις διφυὴς — σαρκώδης [10] ὅλη διαμένουσα, κατὰ τὸ ὄπισθεν ἐμβάλλει μέρος τοῦ ἀγκῶνος, εὐθεῖάν πως μᾶλλον [11] ἔκτασιν ἐργαζομένη, περὶ τὸν πῆχυν εἴσω βραχὺ [12] ῥέπουσαν. ἔστι δὲ καὶ ἄλλη τις ἔμφυσις εἰς τὴν κατ' ἀγκῶνα διάρθρωσιν ἐπὶ τῶν πιθήκων, λοξὴν ἐπὶ τὰ [13] ἔξω τὴν [14] ἔκτασιν ἐργαζομένη. καὶ γὰρ καταπέφυκεν εἰς [15] τὸ ἐκτὸς [16] τῆς διαρθρώσεως, ἀπὸ

---

[1] συμφυεῖς δὲ ἄλληλαι E. [2] ἐργάσασθαι P. [3] ἄλλαις ἁπάσαις om. P. G. [4] εἴ πως P. [5] φανεῖται P. G. [6] ἔξωθεν P. [7] οὖν om. P. [8] λοξὴν om. P. G. [9] ῥηθέντος add. P. O. [10] ὕλη P. — M. gemelli pars interior et exterior, quae cum brachiaeo externo extensorem cubiti tricipitem formant. [11] ἔκτασιν om. A. [12] ῥέπουσα A. E. P. [13] ἔσω E. [14] ἔγκλισιν P. ἐργαζόμενος A. [15] τὰ P. A. ἐκτὸς om. E. [16] ὁ add. P.

ἀπὸ διαφύσεως ἐγκαρσίας ἀρχομένη τοῦ μεγίστου τῶν κατὰ τὸν ὦμον μυῶν, ὃν ἀπὸ τῆς ῥάχεώς [1] τε καὶ τῶν πλευρῶν ἔφην [2] ἀνέρχεσθαι.

κβʹ. Περὶ τῶν κατὰ τὸν πῆχυν μυῶν ὑφ' ὧν [3] ἥ τε κερκὶς καὶ [4] ὁ καρπὸς καὶ οἱ δάκτυλοι κινοῦνται.

Κατὰ [5] διαφέροντας τρόπους διδασκαλίας ἄλλοτε [6] ἄλλος ἀριθμὸς δύναται λέγεσθαι τῶν περὶ τὸν πῆχυν μυῶν, ὡς ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν [7] ἐδείκνυμεν, ἀκριβολογουμένῳ μὲν ἑπτακαίδεκα, διδάσκειν δὲ βουλομένῳ [8] σαφῶς τοὺς πρώτους ἀρχομένους πεντεκαίδεκα. τεταγμένοι δέ εἰσιν ἐκ μὲν τῶν ἔνδον τοῦ πήχεως ἑπτὰ μύες οὔτε πλείους οὔτε ἐλάττους ἀριθμεῖσθαι δυνάμενοι· κατὰ δὲ τὴν ἔξω χώραν ὁ μὲν ἐλάχιστος ἀριθμὸς ὀκτὼ, διαχωριζομένων δὲ τῶν συμφυῶν μυῶν, ὁ πλεῖστος δέκα, [9] μέσος δὲ ἀμφοῖν [10] ὁ τῶν ἐννέα. δῆλον δὲ ὅτι τῆς χειρὸς ἐσχηματισμένης οὕτως, ὡς ὑποκεῖσθαι μὲν τὸ τοῦ πήχεως ὀστοῦν, [11] ἐπικεῖσθαι δὲ τὸ τῆς κερκίδος, καθὸ [12] ᾗ ἔνδον ἢ ἔξω τι λέγουσι τοῦ πήχεως οἱ ἀνα-

---

[1] τε om. P. [2] ἄρχεσθαι E. — Dans les singes il y a de plus une quatrième portion etc. Cuvier I. p. 294. [3] ὁ τε P. [4] ὁ om. P. [5] διαφέροντα τρόπον A. [6] ἄλλως ὁ P. [7] δείκνυμεν A. ἀκριβολογουμένων A. ἀκριβολόγου μὲν P. δεκαεπτὰ P. [8] σαφῶς om. P. G. δεκαπέντε P. [9] μέσων A. [10] ὄντων ἐννέα A. [11] ἐπικεῖσθαι δὲ om. E. τῷ τῆς E. [12] τὸ E. λέγουσί τι τὸ τοῦ A. τῷ τοῦ E.

τομικοὶ, κάτωθεν μὲν οὖν ὅλως [1] οὐδεὶς ὑποτέτακται τῷ πήχει μῦς, ἄνωθεν δ' ἐπιβέβληται τῇ κερκίδι, περὶ [2] ὃν ἐσφάλησαν ἅπαντες, ἀλλ' ἡμεῖς γε σαφῶς αὐτὸν ἐξηγησόμεθα, τοῖς [3] ἔξωθεν προσνέμοντες ἐννέα τὸν ἀριθμὸν οὖσι χωρὶς [4] τούτου. τοὺς μὲν γὰρ τέσσαρας δακτύλους ἄνευ τοῦ μεγάλου μῦς εἷς μέγας ἐκτείνει κατὰ τὴν μέσην μάλιστα χώραν τεταγμένος ὅλου τοῦ κώλου, τέσσαρας ἀποφύων τένοντας εἰς ἕκαστον δάκτυλον ἕνα. δύο δ' ἐφ' ἑκάτερα τοῦδε μύες· ὁ μὲν [5] τοὺς μικροὺς δακτύλους ἀπάγει λοξοὺς ἀπὸ τῶν ἄλλων, ὁ δὲ τοὺς [6] ὑπολοίπους τρεῖς [7] τούτοις προσάγει. εἰ δ' [8] ἀκριβολογεῖς, δύο μύας εἴποις ἂν εἶναι [9] ἀλλήλοις συμφυεῖς. οὗτοι μὲν οὖν ἅπαντες ὑφ' ἑνὸς συνδέσμου καλύπτονται, κατ' αὐτὰς μάλιστα τὰς κεφαλὰς τῶν τενόντων [10] ἐκπεφυκότος τῶν πρὸς τῷ καρπῷ περάτων πήχεώς τε καὶ κερκίδος, ἑκάστης κεφαλῆς ἰσαρίθμους ἀποφυούσης τένοντας [11] τοῖς κινουμένοις δακτύλοις. ἄλλοι δ' ἐφ' ἑκάτερα τούτων, ὁ μὲν τῷ

---

[1] οὐδεὶς — τόν τε μέσον καὶ τὸν λιχανὸν om. A. Folium ablatum. [2] ὧν P. [3] ἔξω P. [4] τούτων P. — Extensor digitorum communis. [5] τὸν μικρὸν δάκτυλον ἀπ. λοξὸν O. — Extensor digiti minimi, qui in anularem et auricularem digitum tendines emittit apud simias. [6] λοιποὺς O. [7] τούτῳ O. — Extensor pollicis longus et indicis. [8] ἀκριβολογοίης O. — ἂν εἴποις P. [9] τούτους add. P. O. [10] ἐκπεφυκότες E. τῷ πρὸς — πέρατι P. [11] τοὺς κινουμένους δακτύλους E.

πήχει παρατεταμένος ἔξωθεν εἰς τὸ [1] πρὸ τοῦ μικροῦ δακτύλου μετακάρπιον ἐμφύεται δι᾽ ἑνὸς τένοντος· ὁ δ᾽ εἴς τε τὸ πρὸ τοῦ λιχανοῦ καὶ μέσου [2] διὰ δυοῖν, καὶ τρίτος ἐπὶ τοῖσδε δι᾽ ἑνὸς εἰς τὸ πρῶτον ὀστοῦν τοῦ καρποῦ τὸ κατὰ τὸν μέγαν δάκτυλον. ὑπὸ τούτων τῶν τριῶν ὁ καρπὸς ἐκτείνεται, κατὰ μὲν τὸν μικρὸν δάκτυλον [3] ἐγκλινομένης ὡς ἐπὶ τὸ πρηνὲς σχῆμα τῆς ἄκρας χειρὸς, κατὰ δὲ τὸν μέγαν, ἐπὶ τὸ ὕπτιον. ὁ μέσος δὲ ἀμφοῖν [4] μῦς μέσην ἀμφοτέρων ἐργάζεται τὴν ἔκτασιν τοῦ καρποῦ· [5] μέσην δὲ ἀμφοῖν ταῖν προειρημέναιν, καὶ οἱ λοιποὶ δύο μύες ἐὰν ἐνεργήσωσιν ἅμα, τὴν [6] κατάστασιν ἡ χεὶρ ἄκρα λαμβάνει. τῷ μέντοι κατὰ τὸν μέγαν δάκτυλον κινοῦντι τὸν καρπὸν, ὡς εἴρηται, παραπέφυκεν ἕτερος μῦς, ὡς [7] ἀμφοτέρους ἕνα [8] τίθεσθαι, καθήκων εἰς τὸ πρῶτον ὀστοῦν τοῦ μεγάλου δακτύλου, καὶ κινεῖ γε [9] αὐτὸν τὴν ἀνάλογον [10] κατὰ θάτερον κίνησιν τῇ προειρημένῃ λοξῇ κατὰ τοὺς πέντε δακτύλους, ἣν [11] ὑπὸ τριῶν ἔφην γίγνεσθαι μυῶν· σύνδεσμος δὲ καὶ ταύτας ἀμφοτέρας

---

[1] πρὸς τῷ μικρῷ δακτύλῳ P. G. — Extensor carpi ulnaris. [2] διαδύει O. — Extensor carpi radialis bicornis. Vesal. II. 64. [3] ἐγκλινόμενος O. ἐκκλινόμενος E. [4] οἷον add. P. [5] μέσον δὲ καὶ ἂν οἱ λοιπ. O. δὲ om. P. αἱ προειρημέναι E. Scripsi ταῖν προειρημέναιν. ὡς καὶ οἱ λ. E. Expunxi ὡς. [6] κατάτασιν P. [7] ἕνα τίθ. ἀμφ. P. [8] φαίνεσθαι O. καθῆκον E. [9] αὐτὸ O. [10] ἐπὶ θάτερα P. O. [11] ἀπὸ P. — M. pollicis tricornis partes.

τὰς κεφαλὰς περιλαμβάνει κατὰ τὸ τῆς κερκίδος ὑψηλὸν καὶ τὰς ἑτέρας δύο τὰς τὸν καρπὸν κινούσας. [1] εἰ δ' ἄμφω ταθεῖεν ἅμα, ἀκλινῆ τὴν ἔκτασιν ὁ μέγας δάκτυλος λαμβάνει. λοιποὶ δὲ τῶν ἔξωθεν τοῦ πήχεως μυῶν εἰσιν ὅ τ' ἐμφυόμενος τοῖς ἄνω [2] μέρεσι τῆς κερκίδος λοξὸς, ὅλος σαρκοειδὴς, ὅ, τ' ἐπικείμενος ἄνωθεν [3] αὐτῷ μακρὸς, οὐκ εἰς ἀκριβῆ τένοντα τελευτῶν οὐδὲ αὐτός. διαμένει γὰρ [4] αὐτοῦ τὸ πέρας σαρκῶδες, ἠρέμα πλατεῖ τένοντι μιγνύμενον ὑμενώδει. καταφύεται δ' εἰς τὸ κάτω πέρας τῆς κερκίδος τὸ πρὸς τῷ καρπῷ κατὰ τὸ ἔνδον αὐτοῦ μέρος· τὴν κεφαλὴν δὲ ἀνήκουσαν ἐπὶ τὸ τοῦ βραχίονος ὀστοῦν ἔχει. τῶν [5] δὲ ἄλλων μυῶν τῶν εἰρημένων αἱ ἄνωθεν ἀρχαὶ τόνδε τὸν τρόπον ἔχουσιν· ἐκ μὲν τῆς [6] ἔξωθεν κεφαλῆς τοῦ βραχίονος, ἣν [7] δὴ καὶ κόνδυλον ὀνομάζουσι, τρεῖς ἐκπεφύκασι συμφυεῖς ἀλλήλοις, ὑψηλότατος μὲν ὁ τῶν τεσσάρων δακτύλων, [8] ταπεινότατος δὲ ὁ κατὰ τὸν μικρὸν δάκτυλον τοῦ καρποῦ, μέσος δὲ ἀμφοῖν ὁ τοῖν δυοῖν δακτύλοιν τῶν μικρῶν· οἱ δὲ τῶν ὑπολοίπων τριῶν δακτύλων δύο μύες, ἑνούμενοί τε καὶ συμφυόμενοι κατά [9] τι μέρος ἑαυτῶν, ἐκπεφύκασι τοῦ πήχεως ὀλίγου δεῖν ὅλου, ὁ μὲν εἰς

---

[1] εἰ δ' ἄμφω — λαμβάνει om. E. [2] τῆς κερκ. μέρεσι P. — Supinator brevis. [3] αὐτῇ P. O. [4] τὸ πέρας αὐτοῦ P. — Supinator longus. [5] δὲ om. P. προειρημένων P. [6] ἔξω P. [7] δὲ E. [8] ταπεινότερος E. [9] τὸ E.

τοὺς [1] δύο δακτύλους ἐμβάλλων τόν τε μέσον καὶ τὸν [2] λιχανὸν ἐκ τοῦ πρὸς τὸν καρπὸν μέρους, ὁ δ' εἰς τὸν μέγαν δάκτυλον ἐκ τοῦ μετ' αὐτὸν τοῦ πρὸς τὴν κατ' ἀγκῶνα διάρθρωσιν ἀνήκοντος. ἡ δὲ ἀρχὴ τῆς ἐκφύσεως [3] αὐτὸ τὸ ὑποκείμενον αὐτοῦ μέρος ἐστὶ τῆς κεφαλῆς τῆς κερκίδος. ταύτης [4] τῆς ἀρχῆς μικρὸν κατωτέρω καὶ ὁ τὸν μέγαν δάκτυλον κινῶν [5] ἐκφύεται, διὰ τῆς μεταξὺ χώρας πήχεώς τε καὶ κερκίδος ἐπὶ [6] τὰ κάτω φερόμενος. [7] ὑψηλότερος δὲ αὐτοῦ, τὴν ἔκφυσιν ἐκ τῆς κερκίδος ἔχων καὶ τὴν μετὰ ταῦτα χώραν ἅπασαν, ὁ τοῦ καρποῦ μῦς ἐστιν ὁ κατὰ τὸν μέγαν δάκτυλον· ὁ δ' εἰς τὸ πρὸ τοῦ λιχανοῦ τε καὶ μέσου μετακάρπιον [9] ἐμφυόμενος ἐπίκειται μὲν [10] ἔξωθεν ἅπαντι τῷ τῆς κερκίδος ὀστῷ, τὴν δ' ἔκφυσιν ἐκ τῶν ὑπεράνω μερῶν ἔχει τοῦ ἔξω κονδύλου τοῦ βραχίονος [11] ὑπερκειμένην [12] τῆς τοῦ πρώτου πάντων ῥηθέντος μυὸς, ὃς ἐκτείνει τοὺς τέσσαρας δακτύλους· οὗτος ὁ μῦς ἅπτεται μὲν ἀεὶ καὶ τοῦ βραχίονος [13] αὐτοῦ, κατὰ τὴν πρώτην ἔκφυσιν ὀλίγον τι προσαναβαίνων ἀπὸ τοῦ κονδύλου, φαίνεται δ' ἐνίοτε καὶ μέχρι πλείονος ἀνατεινόμενος. οὐ γὰρ [14] ἀκρι-

---

[1] δύο om. P. — ἐμβαλὼν E. [2] Inde Cod. Ambr. porro pergit. [3] αὐτῷ A. P. [4] ἧς P. E. ἀρχὴ E. [5] ἐμφύεται E. [6] τὸ P. [7] ὑψηλοτέραν A. [8] τε add. P. ἐκ τῆς κερκ. τὴν ἐκφ. A. [9] ἐκφυόμενος P. [10] ἔξω ἐν P. [11] ὑποκειμένην P. G. [12] τῆς om. P. [13] ἀυτοῦ om. A. E. [14] ἀρκοῦσι A.

βοῦσι τὰς εἰρημένας ἐκφύσεις διὰ παντὸς οἱ μύες, ἀλλ' ἐν τῷ σπανίῳ ποτὲ προσεπιλαμβάνουσιν ἤτοι τῶν ἄνω [1] χωρίων ἢ τῶν ἐφ' ἑκάτερα. τούτων δὲ ἀνωτέρω τὴν κεφαλὴν ὁ τῆς κερκίδος ἴδιος ἔχει μῦς, ὁ καθ' ὅλης αὐτῆς ἄνωθεν ἐκτεταμένος, ἐνέργειαν ἔχων ὑπτίαν ἐργάζεσθαι τὴν χεῖρα. [2] ὁ λοιπὸς δὲ ἄλλος μῦς ἐστι τῆς κερκίδος ἐν τοῖς [3] ἔξωθεν χωρίοις λοξὸς ἐμφυόμενος [4] αὐτῆς τοῖς ἄνω μέρεσιν, οὐχ ὥσπερ ὁ προειρημένος [5] τοῖς κάτω, καὶ διὰ [6] τοῦτο ἑκάτερος αὐτῶν ἐκεῖνο [7] κινεῖ τὸ μέρος τῆς κερκίδος, εἰς ὃ καταπέφυκεν. ἀμφοτέρων δ' ἐνεργησάντων [8] ὁμοῦ, [9] ὑπτίαν κατάστασιν ἡ χεὶρ ὅλη λαμβάνει. ἐκπέφυκε δὲ ὁ μῦς οὗτος [10] ἔκ τε τοῦ περὶ τὸ ἄρθρον ὑμενώδους συνδέσμου καὶ τῶν ψαυόντων [10] αὐτοῦ τοῦ πήχεως περάτων, οἷς καὶ ὁ ταπεινότατος [12] ἁπάντων τῶν ἔξω μυῶν τῶν τὸν [13] καρπὸν κινούντων ἐπιβαίνων, μετὰ τὴν πρώτην ἔκφυσιν ὅλῳ τῷ πήχει [14] παραπέφυκεν. οὕτω μὲν [15] οὖν ἔχουσι θέσεώς τε καὶ φύσεως καὶ κινήσεως οἱ ἔξωθεν μύες. τῶν δ' ἐντὸς τοῦ πήχεως μυῶν ἑπτὰ τὸν ἀριθμὸν ὄντων δύο μὲν τὸν καρπὸν κάμπτουσι, δύο δὲ τοὺς

---

[1] μορίων P. [2] ὁ om. A. P. [3] ἔξω P. [4] αὐτοῦ P. αὐτοῖς E. [5] τῷ P. [6] τούτων P. [7] τὸ μέρος κινεῖ P. A. [8] ὁμοῦ om. A. E. [9] τὴν add. P. O. [10] ἔκ τε om. A. lac. [11] τῶν τῆς πόλεως αὐτῆς A. τῶν τῆς πήχεως αὐτῆς E. αὐτῆς τοῦ πήχεως P. Scripsi αὐτοῦ. περάτων om. A. lac. [12] πάντων E. [13] καρπόν om. A. lac. [14] παρεμπέφυκεν P. [15] οὖν om. P. O.

δακτύλους, δύο δὲ ἄλλοι [1] τὴν κερκίδα περιάγουσιν ἐπὶ τὸ πρηνὲς, ὁ δὲ ὑπόλοιπος εἷς, [2] ὅσπερ καὶ πάντων ἰσχνότατός ἐστιν, ἐπιπολῆς μὲν [3] ὑπὸ τῷ δέρματι τέτακται, κατὰ μέσον μάλιστα τὸ κῶλον ἄνωθεν κάτω φερόμενος, εἰς τένοντα δὲ [4] τελευτᾷ ἕνα στρογγύλον, [5] ἵνα πρῶτον ἀποφύεται τοῦ μυὸς ἀνωτέρω πολὺ τοῦ καρποῦ, καὶ διαμένων γε [6] τοιοῦτος ἄχρι τοῦ καρποῦ, πλατύνεται τοὐντεῦθεν οὕτως, ὡς [7] ὑποφύεσθαι παντὶ τῷ τῆς ἄκρας χειρὸς ἔσωθεν δέρματι τῷ ψιλῷ τῶν τριχῶν. [8] οὐδὲν ἄρθρον οὗτος ὁ μῦς κινεῖ, καίτοι νομίζουσί γε οἱ ἀνατομικοὶ πάντες οἱ πρὸ ἡμῶν ἐπισπᾶσθαί τε καὶ κάμπτεσθαι πρὸς [9] αὐτοῦ πάντας τοὺς δακτύλους. τοῦτον μὲν οὖν πρῶτον ἀνατέμνειν χρὴ, διότι καὶ πρῶτος ἁπάντων ὑπὸ τῷ δέρματι τέτακται. μετὰ τοῦτον δὲ τρεῖς μύες ἐφεξῆς ἀλλήλων κεῖνται, κατὰ [10] μῆκος ἅπασαν κατειληφότες τὴν ἐντὸς χώραν τοῦ πήχεως. ἔστι δὲ αὐτῶν ὁ μέσος μὲν [11] τὴν θέσιν καὶ ἀκριβῶς ὑποκείμενος τῷ προειρημένῳ μυῒ εὔρωστος, εἰς τοὺς τέσσαρας δακτύλους [12] διανεμόμε-

---

[1] τοὺς δακτύλους, δύο δὲ add. E. [2] ὥσπερ A. E. ὃς P. [3] ἐπὶ O. ἐν A. τοῦ δέρματος P. τέταται O. [4] τελευτήσει A. τελευτήσας P. [5] ἵνα ὅπου P. glossema. [6] οὗτος add. A. τοι οὗτος P. [7] ἀποφύεσθαι. — M. palmaris longus. [8] οὐδὲ E. ὁ μῦς οὗτος P. [9] αὐτοὺς P. [10] τὸ add. P. [11] τῇ θέσει P. [12] διανεμόμενος om. A. lac. — M. flexor digitorum sublimis.

νος· εἷς δ' ἑκατέρωθεν [1] αὐτοῦ μῦς ἕτερος, ὁ μὲν εἰς τὸν καρπὸν [2] ἐμφυόμενος, ὁ δ' εἰς [3] τὸ μετακάρπιον ἁπλῷ [4] τένοντι. καὶ δὴ [5] κάμπτουσιν οἱ δύο μύες οὗτοι τὸν καρπὸν, ὁ μὲν εἰς τὴν πρὸ τοῦ μικροῦ δακτύλου χώραν ἐμβάλλων τοῦ καρποῦ μετὰ τοῦ [6] παρεγκλίνειν ἐπὶ τὸ ὕπτιον, ὁ δ' εἰς τὴν πρὸ τοῦ λιχανοῦ τοῦ μετακαρπίου μετὰ τῆς εἰς τὸ πρηνὲς ἐγκλίσεως· ἀμφοῖν δ' ἐνεργούντων, ἡ μέση τε καὶ ἀπαρέγκλιτος καμπὴ γίγνεται τῆς [7] κατὰ τὸν καρπὸν διαρθρώσεως. ἀνατμηθέντων δὲ καὶ τούτων τῶν [8] τριῶν μυῶν, ἄλλος εὑρίσκεται [9] μέγιστος μῦς, ὑποκείμενος τῷ μέσῳ, κάμπτων καὶ αὐτὸς τοὺς πέντε δακτύλους, τῶν μὲν τεσσάρων τὸ πρῶτον καὶ [10] τὸ τρίτον ἄρθρον δι' ἑνὸς ἀμφότερα τένοντος, τοῦ δὲ μεγάλου τὸ δεύτερον καὶ [11] τὸ τρίτον. [12] τοῖς δὲ τούτου τοῦ μυὸς τένουσι μεγάλοις οὖσιν οἱ τοῦ προειρημένου μυὸς ἐποχοῦνται καθ' ἕκαστον δάκτυλον εἷς ἐφ' ἑνὶ [13] πλὴν τοῦ μεγάλου δακτύλου, καθάπερ εἴρηται. ἐπειδὰν δὲ πλησίον ἥκωσι τῶν μέσων [14] ἄρθρων, ὁ [15] μικρότερος τένων [16] δια-

---

[1] αὐτῷ A. [2] ἐμφυόμενος om. A. lac. [3] τὸν A. μετακάρπιον om. A. lac. [4] τείναντι A. [5] καὶ add. P. καὶ δὴ κάμπ. om. A. lac. — M. ulnaris internus. [6] παρεκκλίνειν E. — M. radialis internus. [7] μετὰ καρπὸν A. κατὰ τὸν μετὰ τὸν E. [8] τριῶν om. A. E. [9] μῦς μέγιστος P. — M. Flexor digitorum profundus. Vesal. II. 43. [10] τὸ om. P. [11] τὸ om. P. [12] ὀστοῦν add. P. G. [13] πλησίον P. [14] ἀρθρώσεων P. [15] μικρὸς P; G. [16] δίχα σχισθεὶς A. διδαχθεὶς P.

σχισθεὶς, [1] ἑκατέρῳ τῷ μέρει [2] περιλαμβάνων [3] τὸν ὑποκείμενον [4] ἑαυτῷ τὸν μέγαν, εἰς τὴν ἀρχὴν ἐμφύεται τοῦ [5] μέσου τῶν κατὰ τὴν διάρθρωσιν ὀστῶν. τὸ δὲ πρῶτόν τε καὶ τρίτον ἄρθρον ὑπὸ τοῦ μείζονος κάμπτεται τένοντος, οὐ μὴν [6] κατὰ τὸν αὐτόν γε τρόπον ἀμφότερα. τὸ μὲν γὰρ τρίτον ἄρθρον αὐτὸς ὁ τένων δι' ἑαυτοῦ [7] κάμπτει, τὸ δὲ πρῶτον διὰ τοῦ συνδέσμου. ὅτι μὲν οὖν [8] στρογγύλοι πάντες εἰσὶν οἱ τοὺς δακτύλους κινοῦντες τένοντες, ὥσπερ νεῦρα, καλῶς [9] εἴρηται τοῖς ἀνατομικοῖς, οὐ μὴν οὔτε τὰς ἄνωθεν ἀρχὰς [10] ἀκριβῶς ἔγραψαν οὔτε τὸν ἀριθμὸν τῶν μυῶν, ὥστε τινὲς αὐτῶν [11] οὐδὲ τοὺς τὴν κερκίδα κινοῦντας [12] μύας ἐδήλωσαν, ὥσπερ οὐδὲ [13] ὁ Αἰλιανός. περὶ μὲν οὖν τούτων ὀλίγον ὕστερον [14] ἐρῶ· τῶν δὲ προειρημένων πέντε μυῶν ὁ μὲν κατὰ τὸν μικρὸν δάκτυλον κάμπτων τὸν καρπὸν ἀπὸ τοῦ ἔσωθεν ἄρχεται [15] κονδύλου τοῦ βραχίονος, συνεφαπτόμενος καὶ τοῦ πήχεως· ὁ δὲ κατὰ τὸν μέγαν ἐκ τῶν ἄνω μερῶν [16] μᾶλλον ἄρχεται τοῦ αὐτοῦ κονδύλου. μεταξὺ δὲ ἀμφοτέρων τῶν ἀρχῶν ἡ τοῦ καθήκον-

---

[1] ἐν ἑκατ. μέρει P. [2] περιλαβὼν A. P. [3] τὸ A. ὑποκείμενον om. E. [4] αὐτῷ A. ἐν αὐτῷ E. [5] μέσου προτέρου E. [6] γε add. P. [7] κάμπτων ἐστὶ A. [8] πάντες στρογγ. τε P. [9] αὐτοῖς add. E. τοῖς ἀνατομικοῖς om. E. [10] ἔγραψαν ἀκριβῶς P. [11] οὐδὲ — ἐρῶ om. A. lacuna. [12] μῦς P. [13] ὁ om. P. [14] εἰρήσεται P. G. [15] τοῦ βραχ. κονδ. A. [16] μᾶλλον om. P. G. ἄρχει E. αὐτοῦ τοῦ P. G.

τος εἰς αὐτὸ τὸ δέρμα τῆς χειρὸς μυὸς ἔκφυσις τέτακται. ὑπόκεινται [1] δὲ οἱ δύο μύες οἱ μεγάλοι ταύτῃ τῇ ἐκφύσει, τὸ μεταξὺ [2] πήχεώς τε καὶ κερκίδος ἀναπληροῦντες [3] ἅπαν. ὁ μὲν οὖν μικρότερος αὐτῶν, [4] ὅσπερ καὶ μέσος ἀκριβῶς τέτακται, τῆς ἐντὸς κεφαλῆς ἐκφύεται τοῦ βραχίονος, ἐφαπτόμενός πως ἐνταῦθα καὶ τοῦ πήχεως. ὁ δὲ μέγιστος ὑποτέτακται τούτῳ, τὴν μέσην χώραν πήχεώς τε καὶ κερκίδος ἅπασαν κατειληφὼς καὶ συμφυόμενος ἀμφοτέροις τοῖς ὀστοῖς, τῷ δὲ πήχει κατὰ τὰ πρὸς ἀγκῶνα μέρη περιφυόμενος [5] ὡσαύτως. ἀλλὰ τοῦτο μὲν τὸ μέρος τοῦ μυὸς κατ' εὐθὺ τῆς εἰς τὸν μικρὸν δάκτυλόν ἐστιν ἐμφύσεως· ἄλλο δὲ μέρος [6] αὐτοῦ ἐστιν, ὃ τὴν αὐτὴν ἀρχὴν ἔχει τῷ προειρημένῳ μυῒ τῷ τοὺς τέσσαρας δακτύλους κινοῦντι· κατ' εὐθὺ [7] δὲ μάλιστα τοῦτο τὸ μέρος τοῦ μυός ἐστι [8] τῷ λιχανῷ δακτύλῳ. τὸ δὲ τρίτον αὐτοῦ τῶν μερῶν ὅπερ δὴ καὶ μέγιστόν ἐστιν [9] αὐτῶν, τὴν μεταξὺ χώραν κατείληφε κερκίδος τε καὶ πήχεως. τῶν δὲ λοξῶν μυῶν τῶν τὴν κερκίδα κινούντων, ὁ μὲν ἐκ τοῦ ἔσωθεν κονδύλου τοῦ βραχίονος [10] ἐκφυό-

---

[1] *δὲ* om. P. [2] *τοῦ* add. P. *τε* om. P. [3] *ἅπαν* om. E. [4] *ὥσπερ* A. E. [5] *ὡσαύτως* om. E. [6] *αὐτοῦ* om. P. [7] *δὲ* om. A. *δέ ἐστι τοῦτο μάλιστα τὸ μέρος* P. *εὐθὺ μάλιστά ἐστι* A. [8] *τοῦ λιχανοῦ δακτύλου* P. [9] *αὐτῶν* om. P. *αὐτῶν ἐστιν* A. [10] *ἐμφυόμενος* A. — M. pronator teres. Vesal. II. 45. De omnibus his brachii manusque musculis secun-

μενος, συμφυὴς ὢν τῇ κεφαλῇ τοῦ κατὰ τὸν μέγαν δάκτυλον [1] κάμπτοντος τὸν καρπὸν μυὸς, ἐκ τῶν ὑψηλοτέρων [2] μερῶν ἐκφύεται τοῦ κονδύλου, καθήκει δ' εἰς τὸ τῆς κερκίδος ὀστοῦν σχεδόν τι [3] μέσον, ἐκτεινόμενος ὡς ἐπὶ τὰ ἄνω, περιάγει [4] δὲ ταύτην [5] ἐπὶ τὸ πρηνές. ὁ δ' ἕτερός ἐστι μὲν ἐλάττων πολὺ τούτου καὶ τῷ μήκει βραχύτατος [6] ἁπάντων, ὀλίγου δεῖν ἐγκαρσίαν τὴν θέσιν ἔχων ἐν τοῖς πρὸς τὸν καρπὸν μέρεσι, συνάπτων ἀμφοτέρων τῶν ὀστῶν τὰ πέρατα τοῦ τε τῆς κερκίδος καὶ τοῦ πήχεως, ἀτρέμα λοξὸς [7] ἐγκεκλιμένος ἀπὸ τοῦ πήχεως ἐπὶ τὴν κερκίδα. ἡ δ' ἐνέργεια καὶ τούτου, τὴν [8] κερκίδα περιάγειν εἰς τὸ πρηνές.

κγ'. [9] Περὶ τῶν ἐν ἄκρᾳ τῇ χειρὶ μυῶν.

[10] Διττὰ γένη [11] μυῶν ἐστιν ἐν ἄκρᾳ τῇ χειρὶ κατὰ τὰ ἔνδον αὐτῆς μέρη, μικροὶ μὲν πάντες ἐξ

---

dum Galenum disserit Joan. Baptista Cananus Ferrariensis in dissectione picturata musculorum humani corporis, libro antiquissimo et rarissimo (Haller Bibl. anat. I. p. 192), quem libenter mihi commodavit utendum Car. Asm. Rudolphi, vir ingenio atque eruditione praepollens.

[1] κάμπτοντος om. A. lac. [2] μυῶν A. [3] μέσος P. [4] δὲ om. E. [5] ὡς add. A. P. [6] ἁπάντων om. P. G. — M. pronator quadratus. Vesal. II. 45. [7] ἐγκεκλεισμένος E. [8] ἐνέργειαν P. κερκίδα in mg. [9] Quae sequuntur duo capita in cod. Par. suo loco migrarunt, de quo antea in notulis mentio est injecta. [10] διττὰ om. A. [11] μὲν loco μυῶν A.

ἀνάγκης, ἀλλήλων δὲ οὐκ ὀλίγον διαφέροντες τά τε ἄλλα καὶ κατὰ τὸ μέγεθος. πέντε μὲν οὖν εἰσιν [1] *οἱ τῶν λοξῶν κινήσεων, ἐπὶ* [2] *τὰ ἔσω τε καὶ ἄνω κινοῦντες τοὺς δακτύλους, εἷς καθ' ἕκαστον, ἕκτος δὲ ὁ τὸν ἀντίχειρα καλούμενον τὸν μέγαν προσάγων τῷ λιχανῷ,* [3] *ὁ δὲ ἕβδομος ἀπάγει μέχρι* [4] *τοῦ πλείστου τὸν μικρὸν δάκτυλον ἀπὸ τῶν ἄλλων. τῶν μὲν οὖν ἐπὶ τὰ ἄνω* [5] *τε καὶ* [6] *ἔσω τοὺς δακτύλους ὅλους ἐκκλινόντων οἱ τέσσαρες μὲν ἐκ τῶν περιεχόντων ἀμφιεσμάτων τοὺς τένοντας,* [7] *οἳ τὸ πρῶτον καὶ τρίτον ἄρθρον* [8] *ἐδείχθησαν κάμπτειν,* [9] *ἐρχόμενοι τελευτῶσιν εἰς λεπτὸν τένοντα* [10] *μετρίως στρογγύλον, ὅλῳ τῷ πλαγίῳ μέρει καθ' ἕκαστον δάκτυλον παραπεφυκότες, δι' οὗ δὴ* [11] *καὶ κινοῦσιν αὐτοὺς τὴν εἰρημένην κίνησιν. ὁ δὲ πέμπτος ὁ τὸν μέγαν δάκτυλον ἀπάγων ἐπὶ πλεῖστον τοῦ λιχανοῦ,* [12] *τὴν κεφαλὴν* [12] *μὲν ἀνηρτημένην ἔχων πρὸς τὸ πρῶτον ὀστοῦν τοῦ καρποῦ, τελευτήσας δὲ εἰς τένοντα* [13] *καὶ αὐτὸς ὁμοίως τοῖς ἄλλοις λεπτὸν,* [14] *ὡσαύτως τε καταφύεται τῷ μεγάλῳ δακτύλῳ*

---

[1] *τὰ* P. in mg. [2] *τὸ* P. — M lumbricales quattuor et abductor pollicis brevis. — M. adductor seu pyramidalis pollicis. — M. abductor digiti minimi. [3] *ἕβδομος δὲ ὁ ἀπάγων* A. [4] *τοῦ* om. P. O. [5] *τε* om. E. [6] *μέσα* A. *μέσον* P. *ὅλους τοὺς δακτ.* P. [7] *ὃς τὸν* A. [8] *ἐδείχθη* A. *ἐλέχθησαν* P. [9] *ἀρχόμενοι* P. G. [10] *μετρίως* om. E. *στρογγύλῳ* E. [11] *καὶ* om. P. [12] *τὴν κεφ.* — *λιχανῷ* om. A. [13] *μὲν* om. P. [14] *ὁμοίως καὶ αὐτὸς* P. [15] *ὁμοίως* P. *τε* om. P.

καὶ τὴν αὐτὴν ἐργάζεται κίνησιν. ὁ δέ [1] γε προσάγων [2] αὐτὸν τῷ λιχανῷ, τὴν ἐναντίαν ἔχων κίνησιν, [3] τῷδε λοξωθεὶς ἕλκει τὸν δάκτυλον ἐπὶ τὴν ἑαυτοῦ κεφαλὴν [4] ἀνηρτημένην εἰς τὸ πρὸ τοῦ μέσου δακτύλου μετακάρπιον. ὁμογενῆ δὲ [5] τούτῳ κίνησιν μῦς ἔχει ἄλλος, ἐκφυόμενος [6] μὲν ἐκ τοῦ πρώτου [7] τῶν κατὰ τὸν καρπὸν ὀστῶν τοῦ ταπεινοῦ [8] τῇ θέσει, καταφυόμενος δ' εἰς [9] τὰ κάτω τοῦ μικροῦ δακτύλου, κατὰ φύσιν δηλονότι τῆς χειρὸς ἐσχηματισμένης ἀπάγων αὐτὸν ἐπὶ πλεῖστον τοῦ παραμέσου. καὶ [10] δῆλον ὡς [11] οὗτός τε καὶ [12] ὁ τὸν μέγιστον ἀπάγων τοῦ λιχανοῦ [13] μείζους εἰσὶ πολὺ τῶν ἄλλων πέντε μυῶν, ἀνηρτῆσθαι δεηθέντες εἰς τὸν καρπὸν [14] ἕνεκα τῆς [15] ἐπὶ πολὺ κινήσεως. ἀρθέντων δ' αὐτῶν ἅμα τοῖς τένουσιν, ἄλλοι μύες οἱ ἐν τῷ [16] μετακαρπίῳ κείμενοι φανοῦνταί σοι τοῖς τε ἀνατομικοῖς ἀγνοηθέντες ἅπασι κἀμοὶ δὲ μέχρι πολλοῦ· τὴν δ' ἔκφυσιν [17] ἔχουσιν ἐκ τοῦ περιλαμβάνοντος συνδέσμου τὰ κατὰ τὸν καρπὸν ὀστᾶ κατ' ἐκεῖνο μάλιστα τὸ μέρος, ἔνθα παύεται μὲν

---

[1] γε om. P. [2] αὐτῷ E. [3] τῷ δὲ λοξῷ ἴσως P. [4] ἠρτημένος A. [5] τούτων A. ἔχει μῦς P. [6] μὲν om. E. [7] τοῦ κατὰ τῶν ὀστῶν καρποῦ E. [8] τὴν θέσιν P. [9] τὴν A. ἐσχημ. δηλον. τῆς χειρὸς A. P. — M. abductor digiti minimi. [10] τοίνυν εἰκότως A. P. G. [11] οὕτως καὶ P. [12] ὁ om. P. [13] μείζονες P. [14] ἕνεκεν P. [15] ἐπιπολῆς A. [16] μετακάρπῳ A. καρπίῳ E. [17] ἔχοντες P. — M. interossei.

ὁ καρπὸς, ἄρχεται δὲ τὸ μετακάρπιον· ἐντεῦθεν [1] δ' ὁρμώμενοι πρὸς τὴν πρώτην διάρθρωσιν [2] ἥκουσιν ἑκάστου δακτύλου, δύο καθ' ἕκαστον ὄντες [3] μύες, ἐκφυόμενοί τε τῆς μέσης χώρας ἑκατέρωθεν, ὡς ἐπιλαμβάνειν [4] τι καὶ τοῦ πλαγίου. καὶ διὰ τοῦτό γε αὐτὸ μετὰ παρεγκλίσεως τῆς εἰς τὸ πλάγιον ἑκάστου τῶν δακτύλων κάμπτουσι τὸ πρῶτον ἄρθρον, ὃ καὶ διὰ τοῦ περιέχοντος συνδέσμου τοὺς μεγάλους τένοντας ἔφην κάμπτεσθαι· κατὰ δὲ τὸν μέγαν δάκτυλον οὔτε ὁμοία κατὰ πᾶν ἐστιν ἡ τῶν εἰρημένων μυῶν [5] κατάφυσις οὔτε ἴσος ἀριθμός. [6] ὁ μὲν γὰρ ἁπτόμενος ἑνὸς τῶν προειρημένων μυῶν, τοῦ τὸν μέγαν δάκτυλον [7] ἐπὶ πλεῖστον ἀπάγοντος τῶν ἄλλων, [8] μικρότερός ἐστι καὶ καταφύεται τῷ δακτύλῳ πλησίον τῆς δευτέρας διαρθρώσεως, [9] οὐ πάνυ μὲν ἐκείνην σαφῶς κινῶν, τὴν πρώτην δὲ μᾶλλον. οἱ δ' ἐφεξῆς αὐτοῦ δύο τὴν δευτέραν κάμ-

---

[1] δὲ om. E. ὁρμώμενον A. [2] ἔχουσιν A. E. ἑκάστους δακτύλους A. [3] μύες om. A. P. ἐμφυόμενοι P. ἐκφυόμενος A. [4] τε E. [5] κατάφυσις — τοῦ τὸν μέγαν om. P. οὐκ ἴσος γ' ἐστὶν ἀριθμός· εἷς μὲν γὰρ O. P. in mg. Locus in Cod. Par. valde corruptus persanatur codice Escorialensi. [6] ὁ μὲν — μυῶν om. A. lac. [7] ἐπὶ πλ. ἀπάγ. om. A. lac. [8] μικρότερος A. E. O. μακρότερος P. in mg. Flexor pollicis longus sive longissimus intelligi nequit, qui secundum pollicis articulum flectit simiisque deest; neque inter summae manus musculos erat recensendus. Num sit flexor pollicis brevis? [9] οὐ — ἐκείνην om. A. lac.

πτουσι διάρθρωσιν, ὁ μὲν τοῦ προειρημένου τοῦ μείζονος ψαύων, [1] ἄνω ῥέπειν τὴν καμπὴν ποιούμενος, ὁ δὲ μετ' [2] αὐτὸν ἐγκλίνων ἀτρέμα εἰς τὸ πλάγιον. ἁπάντων δὲτ ὧν εἰρημένων ἕνδεκα μυῶν [3] τῶνδε κοινόν ἐστιν ἔργον, τὴν πρὸς τὸν καρπὸν [4] συνάρθρωσιν ἑκάστου τῶν [5] κατὰ τὸ μετακάρπιον ὀστῶν κάμπτειν τοσοῦτον, [6] ὅσον ἑκάστη πέφυκε κάμπτεσθαι. βραχύτατον δέ [7] ἐστι τοῦτο. [8] συνήρθρωται γὰρ ἀλλήλοις τὰ κατὰ τοῦτο τὸ μέρος ὀστᾶ, καὶ οὐ καθάπερ τὰ τῶν δακτύλων διήρθρωται· διὰ τοῦτο δὲ καὶ ἡ τοῦ [9] μεγάλου δακτύλου πρώτη διάρθρωσις ἐναργῆ τὴν κίνησιν ἔχει, λεληθυῖαν [10] δὲ καὶ τελέως ἀμυδρὰν ἡ τῶν τοῦ [11] μετακαρπίου πρὸς τὸν καρπόν. ἐνίοτε [12] μέντοι [13] καὶ κατὰ τὸν μέγαν δάκτυλον οἱ δύο [14] μόνον φαίνονται μύες ὁμοίως ἔχοντες τοῖς ἐπὶ τῶν ἄλλων. κἀκεῖνοι δὲ πολλά-

---

[1] ἀῤῥεπῆ O. P. in mg. ἄνω ῥέπειν P. ἄνω ῥέπων E. ἀνωῤῥεπῆ A. quod haud improbo. [2] αὐτὴν E. ἐκκλίνων P. O. De duobus his pollicis musculis, qui secundum flectere dicuntur articulum, nihil certi affirmare ausim. Reliquus est opponens musculus, quem sub abductore brevi Galeni latere potius duxerim quam horum musculorum vicibus fungi. Vesalius II. 43. musculos duos habet, qui primo pollicis ossi, tres Galeno ignoratos, qui secundo famulantur. Anat. admin. I. 9. [3] τόδε A. [4] ἐνάρθρωσιν O. P. in mg. [5] μετὰ E. O. P. in mg. [6] ἑκάστης ὅσον κάμπ. πέφ. A. ἕκαστος E. [7] ἔσται E. [8] συνήρθρωνται E. [9] μεγάλου πρώτη διάρθρωσις δακτύλου E. [10] δὴ A. [11] μετακάρπου A. P. [12] μὲν δή E. [13] καὶ om. P. [14] μόνοι P.

κις οὕτως [1] ἀλλήλοις εἰσὶ συμφυεῖς, ὡς ἕνα φαίνεσθαι καθ' ἕκαστον δάκτυλον.

κδ'. Περὶ τῶν ὑπὸ ταῖς κλεισὶ μυῶν.

[2] Ὑφ' ἑκατέρᾳ κλειδὶ μῦς [3] εἷς ὑπόκειται μηδὲ φανῆναι σαφῶς δυνάμενος πρὶν [4] ἀρθῆναι τὴν κλεῖν. ἔστι [5] δὲ σαρκώδης ὅλος ἑκάτερος αὐτῶν, εἰς ὀστᾶ δύο τὴν κατάφυσιν ἔχων τήν τε κλεῖν καὶ τὴν πρώτην τοῦ θώρακος πλευρὰν τὴν μικρὰν, ἣν ἔνιοι κατακλεῖδα προσαγορεύουσι· τῇ μὲν οὖν κλειδὶ συμπέφυκε [6] κατὰ τὰ πρὸς ἀκρώμιον ἀναφερόμενα μέρη, [7] τῷ δὲ τῆς πλευρᾶς, [8] ἵνα συναρθροῦται τῷ στέρνῳ. περὶ τούτων τῶν μυῶν τῆς ἐνεργείας ἔνιοι μὲν ἀποροῦσι τῶν ἀνατομικῶν, ἔνιοι δὲ τὴν ὠμοπλάτην οἴονται [9] προσάγεσθαι καθάπερ [10] ὁ Λύκος ἐπί [11] γε τῶν ἄλλων ζώων, ὅσα κλεῖς οὐκ ἔχει. καὶ γὰρ καὶ νομίζει συμφύεσθαι τοὺς μῦς [12] τούτους τῇ ἀγκυροειδεῖ τῆς ὠμοπλάτης ἀποφύσει, [13] μέγιστα σφαλλόμενος. ἐπὶ δὲ τῶν ἀνθρώπων [14] τε καὶ τῶν κλεῖς ἐχόντων ζώων, οὐδὲ τοῦτο δυνάμενος εἰπεῖν,

---

[1] ἀλλήλων E. [2] ἐφ' A. E. O. [3] εἷς om. P. O. [4] ἀρθρῆναι A. [5] γὰρ E. ὅλως A. προσαγορεύουσι — μέρη om. A. lac. [6] τὰ κατὰ τὸ E. [7] τὸ P. [8] ἵνα om. A. lac. ἵνα καὶ ὅπου P. glossemate in textum recepto. [9] προσαγορεύεσθαι P. Stellulis lacunam indicat Gadaldinus. [10] ὁ om. A. [11] τε P. [12] τούτους om. P. [13] μάλιστα A. [14] τε om. P.

πεῖν, τὴν ὡς συνδέσμου χρείαν αὐτοῖς ἀνατίθησιν. οὐ μὴν οὕτω [1] γε ἔχει τὸ ἀληθὲς, ἀλλὰ καὶ [2] οὗτοι οἱ [3] δύο μύες [4] ὁμοίαν τοῖς μεσοπλευρίοις ὀνομαζομένοις μυσὶ τὴν ἐνέργειαν ἔχουσιν. ὥσπερ [5] γὰρ ἐκείνων ἕκαστος [6] ταῖς ἔξωθεν ἰσὶ πρὸς τὴν ὑψηλοτέραν πλευρὰν ἀνασπᾷ τὴν ταπεινοτέραν, οὕτω καὶ οἵδε πρὸς τὴν κλεῖν [7] ἀνέλκουσι τὴν πρώτην πλευράν.

κέ. Περὶ τῶν τοῦ θώρακος μυῶν.

Τῶν τοῦ θώρακος μυῶν οἱ μὲν ἐν τοῖς μεσοπλευρίοις δύο καὶ εἴκοσίν εἰσι, τῷ μήκει τὰς ἶνας ἔμπαλιν ἔχοντες. οὐ γὰρ ὥςπερ οἱ μύες [8] ἀπὸ τῆς ῥάχεως ἄχρι τοῦ στέρνου περαίνουσιν, οὕτω καὶ αἱ ἶνες [9] αὐτῶν, ἀλλ' ἐκ πλευρᾶς εἰς πλευρὰν [10] ἐμπεφύκασι λοξαὶ τῷ χῖ [11] παραπλησίως [12] ἐναντίαν ἀλλήλαις αἵ τε ἔξω καὶ ἐντὸς ἔχουσαι τὴν θέσιν. αἱ μὲν οὖν ἐκτὸς ἶνες ἐν τοῖς ἄνωθεν [13] κάτω φερομένοις μέρεσι τῶν πλευρῶν διαστέλλουσι τὸν θώρακα, συστέλλουσι δὲ αἱ διὰ [14] βάθους· ἐναντίως [15] δὲ αὐταῖς αἱ κατὰ

---

[1] γε om. E. [2] οὗτοι om. E. [3] δύο om. A. P. G. [4] ὁμοίως A. μεσοπλεύροις E. ὀνομαζόμενοι A. [5] γὰρ om. E. [6] ταῖς om. E. ἰσὶ πρὸς τὴν om. E. [7] ἕλκουσι E. — M. subclavius. [8] ἀπὸ τῆς ῥάχεως] ἅπαντες ὡς A. [9] αὐτῶν om. A. [10] πεφύκασι A. E. ἐκπεφύκασι P. ἐμπεφύκασι O. P. in mg. [11] παραπλήσιαι P. [12] ἐγκαρσίαν P. ἐναντίαν — θέσιν om. A. E. [13] καταφερομένοις O. [14] βάθος A. [15] δὲ om. E.

[1] τὰ χονδρώδη τὰ πρὸς τῷ στέρνῳ [2] συστέλλουσι μὲν αἱ ἐπιπολῆς, [3] διαστέλλουσι δὲ αἱ διὰ βάθους. [ἐπὶ δὲ τῶν κατὰ τὰς νόθας πλευρὰς μυῶν ἄχρι τῆς [4] τελευτῆς αὐτῶν ἡ αὐτὴ φύσις ἐστὶ τῶν ἰνῶν· οὐδὲ γὰρ ἔχουσιν αἵδε τινὰ καμπήν.] ἑτέρα [5] δὲ μία συζυγία μικρῶν μυῶν ἀνασπᾷ τὰς πρώτας πλευράς, ὥςπερ [6] ἕτεραι δύο κατασπῶσι τὴν δεκάτην τε καὶ τὴν ἑνδεκάτην. ἡ γάρ τοι δωδεκάτη [7] πλευρὰ τοῦ διαφράγματος ἔξωθέν ἐστι, [8] συμπεφυκυῖα τῷ λοξῷ κατ' ἐπιγάστριον μυῒ τῷ μικροτέρῳ. φαίνεται δ' ἐνίοτε καὶ [9] περιγραφὴν ἰδίου μυὸς ἔχουσα τοῦ κατασπῶντος αὐτήν. ἄλλαι δὲ τρεῖς ἐκ τραχήλου καθήκουσαι συζυγίαι μυῶν διαστέλλουσι [10] τὸν θώρακα, μεγίστη μὲν ἡ κατὰ [11] τὰ σιμὰ τῶν ὠμοπλατῶν, ἐλάττων δ' ἡ πρόσθεν αὐτῆς, ἐλαχίστη δ' ἡ ὄπισθεν. αἱ δὲ ἄνωθεν ἀρχαὶ τῆς μὲν πρώτης λεχθείσης [12] τὰ σιμὰ τῆς ὠμοπλάτης ἐστι, τῆς

---

[1] τὰς χονδρώδεις A. τὸν χονδρώδη O. [2] διαστέλλουσι O. [3] συστέλλουσι O. αἱ διὰ βάθους om. A. lac. Quae uncinis circumsepsi verba, ex Oribasio in Cod. Par. mg. fluxerunt. Desiderantur enim in Codd. A. E. Musculorum intercostalium externorum et internorum actiones contrarias refutavit Fallopius et Hallerus. [4] πλευρῆς P. [5] δὲ om. A. E. μία om. P. [6] αἱ add. O. ἕτεροι A. δύο om. A. [7] τῶν πλευρῶν A. [8] συμπεφυκότων (πεφυκυῖα E.) τῶν λοξῶν κατ' ἐπιγαστέρα (ἐπιγάστριον E.) μυῶν τῶν μικροτέρων A. E. [9] παραγραφὴν E. περὶ γραιδίου A. [10] δὲ add. E. [11] τὰ om. E [12] τὰ σιμὰ — δεύτερος om. P. G.

δὲ δευτέρας ὁ [1] δεύτερος τῶν [2] ἐν τραχήλῳ σπονδύλων ἐστὶν, [3] ἡ τρίτη δ' [4] ἐκ τῶν ἀκάνθης ἐκπέφυκε δὶ ὑμενώδους συνδέσμου, τοῦ τε ἡμίσεως μέρους τοῦ κάτω τῶν κατὰ τὸν τράχηλον σπονδύλων καὶ τῶν πρώτων δυοῖν τοῦ μεταφρένου. προήκει δὲ ἡ μὲν πρώτη συζυγία μέχρι καὶ τῶν νόθων πλευρῶν, ἡ δὲ δευτέρα μέχρι [5] τῆς πέμπτης, ἡ τρίτη δ' ἐπιπέφυκε μὲν καὶ [6] τῇ τρίτῃ πλευρᾷ, καταπέφυκε δὲ [7] ὅμως ἰσχυρῶς εἰς τὰς ἐφεξῆς τέσσαρας. οὗτοι πάντες [8] οἱ μύες διαστέλλουσι τὸν θώρακα, καὶ πρὸς αὐτοῖς αἱ φρένες. συστέλλουσι δὲ οἵ τε μεσοπλεύριοι ταῖς ἡμισείαις [9] ἰσὶ καὶ οἱ τοῖς ῥαχίταις [10] μυσὶ παρατεταμένοι κατὰ τὰς ῥίζας τῶν πλευρῶν καὶ τῶν ὀρθίων κατὰ τὸ ἐπιγάστριον [11] ἡ ἄνω μοῖρα καὶ οἱ τὰς ἐσχάτας πλευρὰς κατασπῶντες. συντελοῦσι [12] δ' ἔτι πρὸς τὰς συστολὰς τοῦ θώρακος ἐνίοτε καὶ οἱ κατ' [13] ἐπιγάστριον. ἐπιδέδεικται δὲ καὶ περὶ τούτων ἁπάντων ἐν τοῖς περὶ τῶν τῆς [14] ἀναπνοῆς αἰτίων, ἅπερ εἴ τις [15] ἀναλέξεται, γνώσεται

---

[1] πρῶτος P. G. [2] ἐκ τραχήλου E. [3] τῆς δευτέρας δὲ ὁ δεύτερος add. P. G. [4] ἐκ τῆς P. ἐκτὸς A. — Musculi sunt serratus anticus et serrati postici cum scalenis. Triangularis sterni omittitur Galeno. [5] καὶ add. A. [6] τῇ om. A [7] ἰσχυρῶς ὅμως P. [8] ὁμοίως A. [9] ἰσὶ om. A. E. [10] μυσὶ om. P. Levatores costarum et fasciculi aliquot obliqui abdominis externi musculi. Anat. adm. V. 4. Vesal. II. 35. [11] οἱ ἄνωμοι A. [12] δέ τι P O. [13] ἐπι.... δέδεικται δεκὰς καὶ A. [14] ἀνατομῆς A. E. [15] ἀναλέξαιτο A. ἀνελέξατο P.

σαφῶς ὀλίγου δεῖν ἁπάντων τῶν εἰρημένων μυῶν ἠγνοημένην τὴν ἐνέργειαν τοῖς πρὸ ἡμῶν ἀνατομικοῖς.

κϛʹ. Περὶ τῶν ῥαχιτῶν μυῶν.

Οἱ [1] ῥαχῖται μύες ἄρχονται μὲν ἀπὸ τοῦ δευτέρου σπονδύλου τῶν κατὰ [2] τὸν τράχηλον· ἥτοι δὲ τοσοῦτοι τὸν ἀριθμόν εἰσιν, ὅσοιπερ οἱ ἀπὸ [3] τοῦδε σπόνδυλοι συμφυεῖς ἀλλήλοις ὄντες, [4] ἢ μέγιστοι δύο εἷς ἑκατέρωθεν τῆς ἀκάνθης, ἐκ πολλῶν [5] μυῶν σύνθετοι. ἁπάντων δὲ αἱ ἶνες ἀτρέμα [6] λοξαὶ τυγχάνουσιν οὖσαι, καὶ ταθεῖσαι βραχὺ [7] παρεγκλίνουσιν ἐφ᾽ ἑαυτὰς ἕκαστον τῶν [8] συνεχῶν σπονδύλων. ὅταν δὲ [9] ἀμφότεραι ταθῶσιν αἱ ἶνες ἔκ τε τῶν δεξιῶν καὶ [10] τῶν ἀριστερῶν ἑκάστου [11] σπονδύλου, τηνικαῦτα [12] ὀρθὸς καὶ ἀῤῥεπὴς μένων ἀνακλᾶται πρὸς τοὐπίσω, καὶ εἰ καθ᾽ ὅλην τὴν ῥάχιν οὕτω γένοιτο, μετὰ μὲν μετρίας τῆς τάσεως ἐκτείνεται πᾶσα, βιαιότερον δὲ ταθέντων, ἀνακλᾶται πρὸς τοὐπίσω,

---

[1] ῥαχίσται A. [2] τὸν om. P. O. [3] τοῦ σπονδύλου A. E. τοῦδε σπονδύλου P. τοῦδε σπόνδυλοι O. διφυεῖς O. [4] ὁ O. ἢ εἷς μέγιστος P. [5] μορίων O. σύνθετος P. συνέθετο E. [7] τε add. P. [7] παρεκκλίνουσι O. [8] συνεχόντων O. P. in mg. [9] ἀμφότεροι P. O. αἱ ἶνες om. P. [10] τῶν om. P. [11] σπονδύλων P. [12] μὲν add. A. E. — M. sacrolumbalis et longissimus dorsi. Anat. adm. V. 10. Vesal II. 38.

τὴν ἐναντίαν τῇ κυφώσει καλουμένῃ λαμβάνουσα διάθεσιν.

κζ. Περὶ τῶν καμπτόντων τὴν ῥάχιν μυῶν.

Κατὰ μὲν τὴν ἄνω μοῖραν ἅπασαν ἄχρι τοῦ τετάρτου, ποτὲ δὲ καὶ [1] τοῦ πέμπτου τῶν κατὰ θώρακα σπονδύλων οἱ δύο μύες, οὓς ὑποβεβλῆσθαι τῷ στομάχῳ πρόσθεν εἶπον, οἱ κάμπτοντες τὴν ῥάχιν εἰσί. κατὰ δὲ τὰ κάτω [2] μέρη καὶ τὴν ὀσφὺν ἡ ἔνδον ἅπασα χώρα μεγίστους [3] ἔχει δύο μύας, οὓς ψόας ὀνομάζουσιν οἱ ἀνατομικοὶ πάντες. ἐκφύονται δὲ ἀνωτέρω τοῦ διαφράγματος οἵδε κατὰ τὸν [4] δέκατον ἢ ἑνδέκατον ἐνίοτε τοῦ θώρακος σπόνδυλον, κάμπτοντες τὸ καθ' [5] ἑαυτοὺς μέρος τῆς ῥάχεως. τὸ δ' ἐν τῷ μεταξὺ τούτων τε καὶ τῶν προειρημένων, ὅπερ ἐστὶ τοῦ θώρακος τὸ μέσον, [6] οὐδένα κέκτηται μῦν ἴδιον, ἀλλὰ τοῖς ἑκατέρωθεν μέρεσι συγκινεῖται.

κη'. Περὶ τῶν κατ' ἐπιγάστριον μυῶν.

Ὀκτὼ [7] μύες εἰσὶν οἱ κατ' ἐπιγάστριον, ἑκατέρωθεν τέσσαρες, ἔξωθεν μὲν ἁπάντων οἱ ἀπὸ

---

[1] τοῦ om. A. E. [2] μέρη om. P. τὰ κατὰ τὴν ὀσφὺν P. μέρη κατὰ A. κάτω, ἡ κατ' ὀσφὺν ἔνδον O. [3] ἔχουσα A. [4] ἐνδέκ ἢ δέκατον P. O. [5] ἑαυτὸ P. ἑαυτὰς E. [6] δὲ add. A. E. — M. longus colli et psoas major. [7] μὲν add. P.

τοῦ θώρακος καταφερόμενοι λοξοί, [1] [μέχρι τῶν τῆς ἥβης ὀστῶν] μέγιστοι τῶν ἐνταῦθα μυῶν, δεύτεροι δὲ [2] ὑπ' αὐτοῖς οἱ ἀπὸ τῶν λαγόνων ἀναφερόμενοι, καὶ [3] τρίτοι τούτοις συνάπτοντες, οἱ εὐθεῖς, καὶ τέταρτοι οἱ τῷ [4] περιτοναίῳ συμφυεῖς, ἐγκάρσιοι τῇ θέσει. ἀλλ' οἱ μὲν εὐθεῖς ὅλοι σαρκώδεις εἰσὶν, [5] ἀπὸ τοῦ στήθους ἄχρι τῶν τῆς ἥβης ὀστῶν ἐκτεταμένοι, καὶ [6] μέχρι μὲν τοῦ ὀμφαλοῦ καὶ μικρὸν ἔτι προσωτέρω παράκεινται [7] τε καὶ ψαύουσιν ἀλλήλων, τὸ δὲ ἀπὸ τοῦδε, συμφύονται καὶ τελευτῶντες εἰς τὰ τῆς ἥβης ὀστᾶ [8] καταφύονται. ἡ κορυφὴ δὲ αὐτῶν ὑμενώδης τένων ἐστὶν, ἐπὶ τὴν ἀρχὴν τοῦ θώρακος [9] ἀναφερόμενος, ἀλλ' [10] ἐπικειμένων αὐτῷ τῶν κατὰ τὸ στῆθος μυῶν, ἔλαθεν εἰκότως τοὺς ἀνατομικούς. ἀρθέντων δ' ἐκείνων, ὁ ὑμενώδης τένων [11] οὗτος ἐναργῶς φαίνεται συμπεφυκὼς [12] ἄκρῳ τῷ στέρνῳ καὶ προσέτι τοῖς πλαγίοις αὐτοῦ μέρεσιν ἅπασι, καθὰ συναρθροῦται τοῖς χονδρώδεσι [13] τῶν πλευρῶν, ἄχρι τῆς πρώτης ἀναφερόμενος, ἐξ ἧς ἀνήρτηται. κατὰ δὲ τὴν [14] αὐ-

---

[1] Haec ex Oribasio in Cod. Par. recepta sunt verba. [2] ἐπ' αὐτῶν A. ἀπ' E. ὑπ' αὐτοὺς P. ὑπ' αὐτοῖς O. [3] τρίτην E. [4] περὶ τῷ νέῳ E. [5] οἱ add. E. στήθους .... ὁ τῶν ὀστῶν A. [6] μέρει P. [7] τε καὶ ψαύουσι om. A. [8] καταφύονται om. A. — M. rectus abdominis. [9] ἀναφερομένη E [10] ἀποκειμένων A. αὐτῇ A. P. [11] οὕτως E. [12] ἄχρι A [13] μέρεσι add. P. [14] ἀρχὴν E.

τὴν ταύτην [1] πλευρὰν ἐστι καὶ ἄλλη τις σαρκώδης κεφαλὴ τοῦ προειρημένου μυὸς, εἰς τὸν αὐτὸν τοῦτον ἐμβάλλουσα τένοντα, τὴν δ' ἔκφυσιν ἐζευγμένην ἔχει τῇ καταφύσει τοῦ κατὰ τὴν [2] κλεῖν μυὸς τοῦ μικροῦ. καὶ μέντοι καὶ κάτω πρὸς [3] ὑποχονδρίῳ διάφυσις ὁρᾶται κατ' [4] αὐτὸν [5] ἐγκαρσία λευκανθίζουσα, μεθ' ἣν τὸ ἄνω πᾶν ἄχρι τῆς κλειδὸς ἕτερον μῦν ἐγχωρεῖ τίθεσθαι [6] προσστέλλοντα τὰς συναρθρώσεις τῶν πλευρῶν. οἱ δὲ ἀπὸ τοῦ θώρακος [7] εἰς ἐπιγάστριον καταφερόμενοι δύο μύες ἄρχονται μὲν ἀπὸ τῆς ἕκτης ὡς [8] ἐπὶ τὸ πολὺ πλευρᾶς, ἐκφύονται δὲ κἀκ τῶν μετ' αὐτὴν ἁπασῶν, ἐκδιεστηκυιῶν ἀρχῶν, μίαν καθ' ἑκάστην πλησίον τῶν χονδρωδῶν ἔχοντες [9] ἀποφύσεων, ἐν τοῖς κάτω μέρεσι τοῦ [10] προσθίου μυὸς τοῦ θώρακος καὶ τοῦ κατὰ τὰ σιμὰ τῆς ὠμοπλάτης· [11] λεπτυνόμενοι δὲ τοῖς τε κενεῶσι παραφέρονται καὶ τοῖς τῶν λαγόνων ὀστοῖς ἐπιβάλλουσιν, εἰς ὑμενώδεις τένοντας [12] τελευτήσαντες. [13] ἐμφύονται δὲ δι' αὐτῶν τοῖς τῆς ἥβης ὀστοῖς καὶ τοῖς βουβῶσι. καὶ δὴ καὶ τέτρηνται κατὰ [14] ταῦτα καὶ διεξέρχεται διὰ τοῦ τρήματος ὅ, τε καταφερόμενος εἰς ἑκάτερον [15] ὄρχιν μῦς,

---

[1] πλευρὰ E. [2] κλεῖδα E. [3] ὑποχόνδριον P. [4] αὐτὸ E. αὐτὴν P. [5] ἀμαρσία A. Inscriptio tendinea. [6] συστέλλοντα P. [7] πρὸς P. [8] ἐπὶ om. P. [9] ἀποφύσεις P. [10] τε ἔμπροσθεν P. [11] λεπτυνόμενον E. [12] τελευτήσαντας E. [13] ἐκφύονται E. [14] ταύτας P. αὐτά A. — M. obliquus externus [15] ὄρον P.

ᾧ [1] κρεμαστὴρ ὄνομα, καὶ σὺν αὐτῷ τό τε σπερματικὸν ἀγγεῖον καὶ [2] ἡ φλὲψ καὶ ἡ ἀρτηρία καὶ ἡ τοῦ περιτοναίου ἀπόφυσις. ὅσον δὲ πρὸς ἐπιγάστριον αὐτῶν ἀνήκει μέχρι μὲν τῶν προειρημένων μυῶν τῶν [3] εὐθέων, [4] καταλεπτύνεται κατὰ βραχὺ, τὸ ἐντεῦθεν δὲ εἰς ὑμενώδη τένοντα [5] καταπαυσάμενον ἐπιφύεται τοῖς μυσὶν αὐτοῖς ἔξωθεν, ὡς δοκεῖν [6] ἐκείνων ἴδιον εἶναι σκέπασμα τοιοῦτον, οἷον [7] ἐν τοῖς πλείστοις αὐτῶν οἱ ὑμένες εἰσίν. ἡ δὲ τρίτη συζυγία τῶν λοξῶν μυῶν ἔμπαλιν τοῖς εἰρημένοις ἔχει τὰς ἶνας, ἐκ τῶν κάτω μερῶν ἀναφερομένας λοξάς. [8] ἄρχονται μὲν οὖν ἀπὸ σαρκώδους ἐκφύσεως ἐκ τῶν κατὰ [9] τὰς λαγόνας ὀστῶν, [10] προέρχονται δὲ [11] ἄχρι τῶν εὐθέων μυῶν [12] κἀνταῦθα παύονται, τοῖς ἐγκαρσίοις μυσὶ κατὰ τὴν ἄνοδον ἐπιφυόμενοι καὶ τῶν νόθων πλευρῶν [13] ταῖς τέσσαρσι κατ' αὐτὰς μάλιστα [14] τὰς χονδρώδεις ἀποφύσεις· ἐπιβάλλει δέ τις καὶ τούτων τῶν μυῶν ὑμενώδης ἀπόφυσις λεπτὴ τοῖς εὐθέσι [15] κατ' ἐπιγάστριον μυσὶν, ὑποβεβλημένη [16] τῇ τῶν ἔξωθεν κατιόντων λοξῶν τῶν μεγίστων. ἡ κάτω δὲ αὐτῶν ἀπονεύρω-

---

[1] κρεμαστήριον A. [2] ἡ — ἡ om. P. [3] εὐθείων Codd. [4] ἀποπλύνεται P. [5] παυσάμενον P. [6] ἐκείνων om. E. [7] ἐν om. P. E. [8] ἄρχεται E. [9] τῶν λαγόνων E. [10] περιέχονται P. [11] ἐνταῦθα add. A. εὐθειῶν A. εὐθείων E. [12] κἀντεῦθεν A. [13] τοῖς P. A. [14] τὰς om. E. — M. obliquus internus. [15] μυσὶ τοῖς κατ' ἐπιγ. P. [16] τῷ P.

σις, ἑνουμένη τῇ τῶν [1] ὑποκειμένων ἐγκαρσίων, εἰς τὰ τῆς ἥβης ὀστᾶ καταφύεται κατὰ τὰ ἔνδον ἤδη πως αὐτῶν μέρη μᾶλλον, ὁμοίως [2] τῇ τῶν προειρημένων διατετρημένη. ἔσωθεν δὲ τῶν εἰρημένων [3] οἱ ἐγκάρσιοι μύες εἰσὶν, [4] ἡ λοιπή τε καὶ τετάρτη συζυγία τῶν ἐπιγαστρίων μυῶν, ἀπό τε τῶν κατὰ τὰς [5] νόθας πλευρὰς περάτων [6] ἐκφυόμενοι κατὰ τὰ ἔνδον αὐτῶν μέρη καὶ προσέτι τῆς πλαγίας ἀποφύσεως τῶν ἐν ὀσφύϊ σπονδύλων, εἶτα ἑξῆς ὑμενώδει συνδέσμῳ [7] συναπτόμενοι πρὸς τὴν [8] ὀρθίαν ῥάχιν τοῦ τῆς λαγόνος ὀστοῦ [9] τελευτῶσιν εἰς ἐγκαρσίαν ἀπονεύρωσιν ὑμενώδη [10] καὶ λεπτὴν, ἐπιπεφυκυῖαν τῷ περιτοναίῳ, καὶ λανθάνει [11] τοὺς πλείστους γε τῶν ἰατρῶν τὸ σύνθετον [12] ἐξ αὐτοῦ τε καὶ τοῦ περιτοναίου [13] σῶμα, περιτόναιον εἶναι νομίζοντας. ἀμέλει κἀν ταῖς καλουμέναις γαστροῤῥαφίαις ὥςπερ [14] ὑμένα διαῤῥάπτουσιν [15] αὐτὸ, καὶ γράφοντες ἐν τοῖς ὑπομνήμασιν ὅπως χρὴ ποι-

---

[1] ὑπερκειμένων A. E. [2] τῷ E. [3] οἷον E. [4] ἡ om P. λοιπὴ δὲ Codd. Scripsi τε. [5] νόθους P. [6] ἐκφυομένη A. E. [7] συναπτόμενα A. — M. transversus abdominis. Admin. anat. V. 6. Vesal. II. 31. [8] εὐθεῖαν P. [9] τελευτῶσα A. [10] τε add. P. [11] τε add. E. γε P. O. [12] τὸ add. E. ἐξ αὐτῶν O. P. [13] σῶμα om. P. νομίζοντα A. νομίζοντες E. [14] εἰς ἕνα E. [15] αὐτὸν P. — Galeni gastrorhaphiam, quae abdominis integumenta cum peritonaeo, ex adverso vero tegumenta sola sine peritonaeo alternis acu consuere docet, aequales jam Chirurgi videntur neglexisse.

εἶσθαι [1] τὰς γαστροῤῥαφίας, ὡς περὶ ὑμένος διαλέγονται. καταλείπει μέντοι τὸ περιτόναιον [2] ἐν τοῖς κάτω μέρεσιν ἡ ἀπονεύρωσις αὕτη, καὶ φαίνεται [3] μὲν ἐκεῖνο μόνον γυμνὸν, ἡ δὲ ἀπονεύρωσις ἐκ τῶν ἔξω μερῶν περιβαίνουσα τοὺς εὐθεῖς καὶ σαρκώδεις μῦς, [4] ἑνωθεῖσα τῇ τῶν ὑπερκειμένων μυῶν τελευτῇ, τοῖς τῆς ἥβης ὀστοῖς ἐμφύεται. τούτων [5] τῶν ὀκτὼ μυῶν ἡ χρεία τε ἅμα καὶ ἡ κίνησις εἴρηται μὲν ἐπὶ πλέον ἐν τοῖς περὶ χρείας μορίων, εἰρήσεται δὲ καὶ νῦν τό [6] γε κεφάλαιον ἑκάστης αὐτῶν. εἴς τε [7] γὰρ τὰς [8] ἐκφυσήσεις καὶ τὰς καλουμένας καταλήψεις τοῦ πνεύματος καὶ τὰς μεγάλας τε καὶ [9] τὰς ὀξείας φωνὰς, ἐμέτους τε καὶ διαχωρήσεις γαστρός εἰσι χρήσιμοι. συντελεῖ δὲ αὐτῶν ἡ κάτω μοῖρα καὶ μάλιστα τῶν ἐπιβεβλημένων τῇ κύστει τῇ κατὰ [10] οὔρησιν ἐνεργείᾳ [11] [προστέλλοντες εἴσω τὸ ὑπογάστριον.]

κθ′. Περὶ τῶν [12] ἐπὶ τοὺς ὄρχεις καταφερομένων μυῶν.

Δύο πρὸς ἑκάτερον ὄρχιν ἀφικνοῦνται μύες ἰσχνοί· ἐκφύεται δὲ ὁ μὲν ἐκ τοῦ τῆς ἥβης ὀστοῦ

---

[1] τὰς om. P. γαστροῤῥαφίαν P. [2] ἐν τ. κ. μέρεσιν om. A. [3] λοιπὸν O. [4] ἑνωθεῖσαν E. τῇ τε ὑπερκειμένῃ τῶν μυῶν τῇ αὐτῇ, A. [5] δὲ add. P. [6] τε P. [7] γὰρ om. P. [8] ἐκφύσεις P. O. E. ἐμφυσήσεις A. Scripsi ἐκφυσήσεις. [9] τὰς om. P. εἰσι χρ. γαστρός E. χρήσιμα A. [10] τὴν add. P. O. [11] προστέλλοντες — ὑπογάστριον P. ex Oribasio. [12] εἰς E.

διὰ ὑμενώδους συνδέσμου, ὁ δ' ἐκ τοῦ τῆς λαγόνος. [1] *καταφέρονται δ'* [2] *ἐντεῦθεν διὰ τοῦ καθήκοντος ἐπὶ τὸν ὄρχιν πόρου, κἄπειτα πλατυνόμενοι περιλαμβάνουσι τὸν* [3] *ἐλυτροειδῆ· τὸ δ' ἔργον αὐτῶν, ἀνατείνειν τὸν ὄρχιν, ὅθεν ἔνιοι κρεμαστῆρας αὐτοὺς ὀνομάζουσιν.*

λ'. Περὶ [4] τοῦ κατὰ τὸν τράχηλον τῆς κύστεως μυός.

Σαρκώδης μῦς ἐν κύκλῳ [5] *περιβέβληται τῷ τραχήλῳ τῆς κύστεως, τὸ πλεῖστον δὲ αὐτοῦ μέρος ὑποβέβληται κάτωθεν· οὗτος ὁ μῦς κλείει τὸ στόμα τῆς κύστεως ὑπὲρ τοῦ μηδὲν ἐκρεῖν ἀκουσίως, συναπωθεῖ δὲ καὶ τὸ δι' αὐτοῦ φερόμενον* [6] *ὕδωρ ἤγουν οὖρον.*

λα'. Περὶ τῶν τοῦ αἰδοίου μυῶν.

Δύο μὲν ἔχει πάνυ [7] *μικροὺς καὶ λοξοὺς μῦς τὸ αἰδοῖον, εἰς τὴν ἔκφυσιν ἐμβάλλοντας αὐτοῦ, δύο δὲ ἄλλους συμφυεῖς ἢ ἕνα διφυῆ σαρκώδη, κάτωθεν μὲν ὑποκειμένους αὐτῷ μᾶλλον, οὐ μὴν*

Cod. Ambr. qui capitum titulis caret, ab hoc inde capite titulos perscribit.

[1] *ὀστοῦ δι' ὑμενώδους συνδ. λεπτοῦ* P. O. *καταφέρονται* om. A. [2] *ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν* O. P. in mg. [3] *ἐρυτροειδῆ* A. E. *ἐρυθροειδῆ* O. P. Scripsi *ἐλυτροειδῆ*. — M. cremaster. Vesal. II. 33. [4] *τῶν μυῶν* E. Totum hoc caput om. A. [5] *περιφέρεται* E. [6] *ὕδωρ ἤγουν* om. P. O. — M. sphincter vesicae. Vesal. II. 50. [7] *λοξ. καὶ μικρ.* P.

ἀλλὰ καὶ περιλαμβάνοντας ἐν κύκλῳ. τούτων μὲν οὖν τις οὐδὲν σαφῶς ὀστοῦν ἀνήψασιν αἱ κεφαλαί, τῶν δὲ ἄλλων δυοῖν εἰς τὰ τῆς ἥβης [1] ὀστᾶ ὀνομαζόμενα. δύνανται δὲ ἅπαντες οἱ [2] εἰρημένοι τέσσαρες μύες τό, τ' ἀῤῥενικὸς ἐν ταῖς [3] ἐντάσεσι παρέχειν τῷ αἰδοίῳ καὶ τὰς [4] ἐν. τῷ διασείειν τε καὶ ἀνασείειν αὐτοῦ κινήσεις.

λβ'. Περὶ τῶν κατὰ τὴν ἕδραν μυῶν.

Αὐτὸ μὲν τὸ [5] ἐξώτατον μέρος τῆς ἕδρας συγκεκραμένον ἔχει τῷ δέρματι μῦν, ὡς ἤτοι γε δερματώδη μῦν [6] εἰπεῖν ἢ [7] σαρκῶδες δέρμα, καὶ μάλιστα τοῦτο εὑρεῖν ἐστιν ἐν τοῖς πρόσω μέρεσιν. ἄλλος δὲ μῦς στρογγύλος [8] ἀκριβῶς ἐγκάρ-

---

[1] ὀστᾶ om. A. E. [2] προειρημένοι P. [3] ἐκτάσεσι P. [4] ἐντός A. — M. erectores sive ischiocavernosi et acceleratores. Quattuor hos musculos Galenum praetervidisse, Vesalius asserit II. 49. Nostrum vero de musculorum dissectione librum nunquam legit Vesalius, justo stomachosior Galenomastix. „Nihil de his a Galeno proditum habemus; quandoquidem locus, in quo illos in opere de administrandis sectionibus prosecutus est, unâ cum quinque et dimidio ejus operis libris, incuria temporum intercidit, *simul cum ipsius de musculis peculiari libro.*" [5] ἐξωτάτω P. τὸ μὲν τὸ τῆςδ ἐ ο (ττ) A. πέρας loco μέρος P. τῆς κεφαλῆς Codd. omnes, excepto Amb. qui haec omisit. Scripsi τῆς ἕδρας [6] ὀνομάζειν P. in mg. [7] Suprascriptum μυῶδες P. O. — M. sphincter ani externus. [8] ἀζυγής P. in mg. ex Oribasio.

σιος περιβέβληται τῇ ἕδρᾳ, κλείων αὐτὴν, [1] εἰ ταθείη, κατὰ μὲν τὸ [2] μέσον ἑαυτοῦ ψαύων τοῦ καλουμένου κόκκυγος, ἑκατέρωθεν δ' εἰς τὴν ἔκφυσιν τοῦ αἰδοίου τελευτῶν. [3] οἱ λοιποὶ δὲ δύο μύες ὑμενώδεις ὄντες ἐκφύονται μὲν ἐκ τῶν ἔνδον μερῶν τῶν τε τῆς ἥβης ὀστῶν καὶ τοῦ καλουμένου πλατέος ὀστοῦ, [4] καταφύονται δ' ἑκατέρωθεν εἰς λοξοὶ, τείνοντες ἄνω τὴν ἕδραν· εὐθὺς δὲ καὶ τὴν ἔκφυσιν τοῦ αἰδοίου συνανασπῶσιν οἱ αὐτοὶ μύες [5] διὰ τὴν προειρημένην κοινωνίαν.

λγ'. Περὶ τῶν τὴν κατὰ τὸ ἰσχίον διάρθρωσιν κινούντων μυῶν.

Δέκα μέν εἰσι μύες οἱ τὴν κατ' [6] ἰσχίον διάρθρωσιν κινοῦντες· ἐσφάλησαν δὲ οὐ μικρὰ περὶ αὐτοὺς οἵ τε ἄλλοι τῶν ἀνατομικῶν ἀνδρῶν καὶ ὁ τοῦ Κοΐντου μαθητὴς Λύκος, πέντε νομίζων ὑπάρχειν αὐτοὺς, ἔσωθεν μὲν τρεῖς, ἔξωθεν δὲ δύο· [7] τῶν δ' ἄλλων [8] πέντε παρέλιπε μὲν τρεῖς, ὑπήλλαξε δὲ δύο, τήν τε ἐνέργειαν ἀγνοήσας αὐτῶν καὶ τῇ θέσει μόνῃ [9] προσεσχηκώς. ἅμα γὰρ τοῖς ἄλλοις ἅπασι τοῖς κινοῦσι τὴν κατὰ [10] γόνυ

---

[1] ἀκριβῶς καὶ ἰσχυρῶς add. P. O. [2] σῶμα add. P. — M. sphincter ani internus cum transversis perinaei. [3] οἱ om. P. [4] καταφύονται — κοινωνίαν om. A. lacuna. [5] διὰ — κοινωνίαν om. P. habet E. et O. — M. levatores ani. Vesal. II. 51. [6] ἀγκῶνα E. [7] τῶν δ' — δύο om. A. [8] πέντε om. E. [9] προσέχων P. [10] τὸ add. A.

διάρθρωσιν ἐπίκεινται τῷ [1] μηρῷ. ἔχει δὲ οὐχ ὡς ὁ Λύκος οἴεται [2] τὸ ἀληθὲς, ἀλλ' ὡς ἡμεῖς ἐροῦμεν. ὁ μὲν ἕτερος αὐτῶν, [3] ὅσπερ καὶ μέγιστός ἐστιν ἁπάντων τῶν ἐνταῦθα μυῶν, ἔσω τε καὶ ὀπίσω προσάγει τὸν μηρὸν, ὁ δ' ἕτερος εἴσω [4] μέν τι βραχὺ καὶ τὴν κνήμην κινεῖ, τὸ πλεῖστον δὲ σύμπαντα τὸν μηρὸν, ὥστε λοιποὺς εἶναι τοὺς [5] μόνην τὴν κνήμην κινοῦντας ὀκτώ. εἰ δέ τις [6] βούλοιτο σαφῶς θεάσασθαι τοὺς τὴν κατ' ἰσχίον διάρθρωσιν κινοῦντας μῦς, ἀφελεῖν [7] χρὴ προτέρους τοὺς περὶ τὸν μηρὸν ἅπαντας, ὑφ' ὧν ἡ κνήμη κινεῖται. ἐπεὶ [8] δὲ ἡ τάξις τῆς θέσεως ἐπὶ τοὺς κατ' ἰσχίον ἡμᾶς ἄγει [9] προτέρους, ἐντεῦθεν ἄρξομαι τοῦ λόγου. Τῆς ψόας, οὐ σμικροῦ τινος [10] οὔσης μυὸς, [11] ἀρχομένης δ' ἐκ τῆς ἐνδεκάτης πλευρᾶς τοῦ θώρακος, ἡ μὲν ἔνδον μοῖρα διὰ εὐρώστου συνδέσμου [12] καταφύεται τῷ κατ' ἰσχίον ἔσωθεν μέρει, καθ' ὃν μάλιστα τόπον ἄρχεται μὲν τὸ καλούμενον ἥβης ὀστοῦν, παύεται δὲ τὸ τῆς λαγόνος· [13] ἡ δὲ ἔξωθεν εἰς τὴν ἀρχὴν καταφύεται τοῦ τῆς λαγόνος ὀστοῦ, τὸ δ' ὑπόλοιπον ἅπαν τῆς ψόας, τοῖς

---

[1] μικρῷ E. [2] τἀληθὲς P. τὸ om. E. [3] ὥσπερ E. [4] μέντοι A. [5] μόν. κιν. τὴν κν, P. [6] βούλεται P. [7] τε add. A. πρότερον A. [8] δὴ A. [9] πρότερον A. [10] ὄντος A. E. [11] ἐκ τῆς ἐνδ. δὲ πλ. τοῦ θώρ. ἀρχ. A. τοῦ θώρ. πλευρᾶς P. O. δεκάτης O. [12] καταφύεται — λαγόνος om. A. lac. λαγόνος ὀστοῦν E. [13] ἡ δ' ἔξωθεν — ὀστοῦ om. A. E. habent P. G.

ἔνδον μέρεσι τοῦ τῆς λαγόνος ὀστοῦ παραφερόμενον, [1] δέχεταί τινα, κἀξ ἐκείνου συχνὴν [2] ἔκφυσιν σαρκώδη, κἄπειτ' ἄμφω [3] μία γενομένη δι' εὐρώστου τένοντος ἠρέμα πλατέος ἐμφύεται τῷ μικρῷ τοῦ μηροῦ τροχαντῆρι, τὸ περιφερὲς ἅπαν αὐτοῦ [4] κατειληφότες. οὗτος ὁ μῦς κάμπτει τε ἅμα καὶ πρὸς τοὐκτὸς μᾶλλον ἐπιστρέφει τὸν μηρὸν ὅλον τῷ προειρημένῳ [5] τροχαντῆρι τῷ μικρῷ. καὶ ἕτερός τις [6] ἐμφύεται μῦς μικρὸς, ἀπὸ τῆς βάσεως ἀρχόμενος τοῦ κατ' ἰσχίον ὀστοῦ [7] παρὰ τὸ ψιλὸν καὶ ἄσαρκον τῆς πυγῆς τοῦ πιθήκου, πελιδνὸς τὴν [8] χρόαν. ὁ τένων δ' αὐτοῦ παραπλήσιος [9] ὑπάρχων τῷ προειρημένῳ τὸ κάτω μέρος ἅπαν κατείληφε τοῦ μικροῦ τροχαντῆρος, ἐπιλαμβάνων τι καὶ τῶν ἔνδον αὐτοῦ. ταπεινῆς προσαγωγῆς ὁ μῦς [10] οὗτός ἐστιν αἴτιος, οὐ δυνάμενος ὀφθῆναι πρὶν [11] ἀφαιρεθῆναι τὸν μέγιστον τῶν κατὰ τὸν μηρὸν μυῶν, ὅστις ἐπίκειται μὲν ἅπαντι τῷ τῆς ἥβης ὀστῷ, [12] συνεπιλαμ-

---

[1] ἄρχεται P. [2] ἔμφυσιν A. P. [3] ἅμα γενόμεναι E. πλατέως P. [4] κατειληφὼς A. P. [5] τροχαντηρίῳ P. τροχ. τῷ μικρῷ om. E. — Describuntur Galeno ψόαι musculi, quos neque a quadrato lumborum minusque etiam ab iliaco interno diremit. ψόαν majorem et iliacum internum Hallerus unum musculum, Iliacopsoan nominari voluit. [6] ἐμφύεταί τις A. [7] πρὸς A. πηγῆς A. P. [8] θέαν E. [9] ὑπάρχει A. — M. pectinaeus, a Riolano, Bartholino, aliis lividus (πελιδνὸς) vocatus. [10] ἔστιν αἴτιος οὗτος P. [11] ἀφαιρεθῇ A. [12] συνεπιλαμβάνοντι E.

βάνων τι καὶ τῶν ἰσχίων ἐκ πλαγίων τε ἅμα καὶ κάτωθεν ἄχρι τοῦ [1] ψιλοῦ καὶ ἀσάρκου, καταφύεται δ' εἰς ὅλον [2] τὸν μηρὸν [3] σαρκώδεσι λαβαῖς ἀντεχόμενος αὐτοῦ, ταῖς μὲν ἐκ τῶν κάτω μερῶν τῶν παρὰ τὸ ψιλὸν καὶ ἄσαρκον [4] ἐκφυομέναις ἰσὶν, αἷς ἐγγὺς τῆς [5] κατὰ τὸ γόνυ διαρθρώσεως [6] ἐξικνεῖται, πρὸς τοὐπίσω μᾶλλον ἀπάγων τὸν μηρὸν ἅμα τῷ προσάγειν ἀτρέμα πρὸς τὸν ἕτερον μηρὸν, ταῖς δὲ ὑψηλοτέραις [7] τούτων προσάγων μόνον, ταῖς δὲ [8] ὑψηλοτάταις [9] ταῖς ἄνωθεν μὲν ἀρχομέναις, εἰς δὲ τὰ πρῶτα μέρη τοῦ μηροῦ καταφυομέναις προσάγων τε ἅμα καὶ ἀνατείνων [10] αὐτόν. ἀνατεμνομένου δὲ τούτου τοῦ μυὸς, ὅ, τε [11] προειρημένος ὁ πελιδνὸς ἐναργῶς φαίνεται καί τινες ἕτεραι περιγραφαὶ μυῶν οὐκ ἐναργεῖς, ἐνίοτε μὲν δυοῖν, [12] ἔστι δὲ ὅτε τριῶν, οὓς ἐάν τις ἐν τοῖς μυσὶν ἀριθμῇ, πλείονας ἐρεῖ τῶν δέκα τοὺς κινοῦντας εἶναι τὴν κατ' ἰσχίον διάρθρωσιν. ἐκ δὲ τῶν ὀπίσω μερῶν [13] τῶν κατὰ τὴν πυγὴν πρῶτός [14] ἐστιν ὁ ἐπιπολῆς μῦς [15] ἀνάλογον ἔχων τῷ τὴν ἐπωμίδα κατειληφότι κατὰ

---

[1] ὑψηλοῦ E. [2] κύκλῳ add. P. O. [3] σαρκώδης βαθὺς E. [4] ἐμφυομέναις A. O. P. in mg. ἰσὶν αἷς om. E. εἰσὶν A. [5] κατὰ om. O. τὸ om. P. [6] ἕως add. E. [7] τοῦτον E. [8] ὑψηλαῖς A. E. [9] ταῖς om. P. O. [10] αὐτούς E. — M. triceps femoris sive adductores Albini. [11] τε om. P. [12] ἐνίοτε P. [13] εἰς τὰ κατὰ A. E. τῶν om. O. [14] μὲν add. P. [15] ἀναλόγως A.

κατὰ [1] τὴν θέσιν καὶ τὴν χρείαν. ἐκτείνει γὰρ ἀκριβῶς τὸν μηρὸν ἐπισπώμενος εἰς τοὐπίσω. τῶν δὲ ἄνωθεν ἐκφύσεων αὐτοῦ δύο μέν εἰσι [2] σαρκώδεις, ὑμενώδης [3] δὲ μία. τῶν σαρκωδῶν δὲ ἡ μὲν μείζων [4] ἐκ τῆς ὀρθίας ῥάχεως ἄρχεται τοῦ τῆς λαγόνος ὀστοῦ, ἡ δ' ἐλάττων ἐκ δυοῖν [5] ὀστῶν, ἰσχίου τε καὶ τοῦ καλουμένου κόκκυγος. [6] τοῦ μέσου δὲ τούτων [7] τὸ ὑψηλὸν ὑμενῶδες ἅπαν ἐστίν. οὗτος ὁ μῦς περιλαμβάνει τὸ ὄπισθεν [8] τοῦ μηροῦ τῆς κεφαλῆς καὶ βραχύ τι προελθὼν ἀπ' αὐτῆς, εἰς τένοντα πλατὺν τελευτήσας, [9] κατάντην καταφύεται τοῖς ὀπισθίοις μέρεσι τοῦ μηροῦ, παρακείμενος ἀκριβῶς ἐνταῦθα καὶ συμφυόμενος τῇ ἐκφύσει τοῦ [10] πλατεῖάν τε καὶ σαρκώδη τὴν ἀπονεύρωσιν ἔχοντος μυὸς, ὃς εἰς τὰ τῆς κνήμης [11] ἔξω καταφυόμενος μέρη τὴν κατὰ γόνυ διάρθρωσιν ἐπιστρέφει πρὸς τοὐκτός· οὐδὲ [12] ἀκριβῶς ἐστι θεάσασθαι τὴν προειρημένην τοῦ κατ' ἰσχίον μυὸς [13] ἔκφυσιν, ἂν μὴ τοῦτόν τις τὸν μῦν ἀνατέμῃ πρότερον. ἔστι δὲ αὐ-

---

[1] τε add. P. [2] οἱ add. E. [3] δὲ om. E. [4] ἄρχεται P. [5] ὀστοῖν P. [6] τὸ μέσον P. τοὔμμεσον A. [7] τὸ om. P. ὑμενώδεις ἅπαντες P. [8] τῆς κεφ. τοῦ μηροῦ P. προσελθὼν A. ἀπ' αὐτοῦ E. [9] κάταντι A. κατάντη P. φύεται P. [10] πλατέος τε καὶ ὑμενώδους καὶ σαρκώδη A. καὶ ὑμενώδους om. E. P. [11] ἔξωθεν A. — M. Glutaeus major, sub quo principium bicipitis ſemoris occulitur. [12] ἐστὶν ἀκριβῶς P. [13] ἔμφυσιν P. εἰ μὴ P. ἂν — ἄχρι τοῦ γόνατος om. A. lacuna.

τοῦ καὶ ἑτέρα τις ἀπόφυσις σαρκώδης ἐπὶ τὸν μηρὸν καθήκουσα μεταξὺ τῶν δύο τῶν [1] ἐμπροσθίων μυῶν, ἐπιφυομένη [2] τέ πως αὐτοῖς καὶ δι' ὑμενώδους τένοντος ἐκπεφυκότος [3] ἁπάντων τῶν κάτω μερῶν αὐτοῦ [4] περιλαμβάνουσα τοὺς προσθίους μῦς ἄχρι τοῦ γόνατος. δεύτερος δὲ ὑπὸ τῷ προειρημένῳ μυΐ [5] τῷ ἐπιπολῆς ἕτερός ἐστι μῦς ἱκανῶς παχὺς καὶ σαρκώδης, ἐξ ἁπάντων [6] σχεδὸν τῶν ἔξω μερῶν ἐκφυόμενος τοῦ τῆς λαγόνος ὀστοῦ, [7] συνεπιφυόμενος δὲ καὶ τῷ τῶν κάτω τοῦ πλατέος ὀστοῦ μερῶν μυΐ μέχρι τοῦ κόκκυγος. κατὰ μὲν [8] οὖν τὸ τῆς λαγόνος ὀστοῦν ὑπόκειται τῷ [9] προειρημένῳ μυΐ, τὸ δὲ ἄνω μέρος αὐτοῦ τὸ πρὸς τὴν ὀσφὺν ἀνατεινόμενον ὑπὸ τῷ δέρματι τέτακται, περιπεφυκυίας αὐτῷ τῆς λεχθείσης ὑμενώδους ἀρχῆς ἐκείνου τοῦ μυός. οὗτος ὁ μῦς εἰς τένοντα πλατὺν εὔρωστον τελευτῶν ἐμφύεται τῇ [10] κορυφῇ πάσῃ τοῦ μεγάλου τροχαντῆρος, ἐκτείνων τε ἅμα τὸν ὅλον μηρὸν καὶ πρὸς τὴν [11] ἐντὸς χώραν ἐπισπώμενος αὐτοῦ τὴν κεφαλήν. [12] ὑποφύεται δὲ αὐτῷ μῦς ἕτερος, πελιδνὸς τὴν χρόαν, ἐκ μὲν τῶν ἔνδον με-

---

[1] προσθίων P. [2] δὲ E. [3] ἐξ add. P. [4] συνεπιλαμβάνουσα E. [5] τῆς P. τῷ ἐπιπολῆς — προειρημένῳ μυΐ om. A. [6] σχεδόν τι P. ἔξωθεν P. [7] συναποφ. δὲ καὶ τῶν E. μυΐ om. E. [8] οὖν om. P. [9] εἰρημένῳ E. — M. glutaeus medius. [10] τελευτῇ E. [11] ἐκτὸς P. ἐντὸς in mg. Anteriores musculi glutaei medii fibrae quum sint crassiores, femur introrsum potius circumferunt [12] ἐμφύεται A. αὐτοῦ A.

ρῶν ἐκφυόμενος τοῦ πλατέος ὀστοῦ, τὴν δὲ ἀπονεύρωσιν συμφυῆ ποιούμενος τῇ προειρημένῃ τοῦ μεγάλου μυὸς ἀπονευρώσει· ἀλλ' ἐκείνη μὲν ἐπὶ [1] τὸ πρόσω τῆς [2] κορυφῆς ὑπερβαίνει τοῦ τροχαντῆρος, αὕτη δ' ἐκ τῶν ὄπισθεν ἐκείνης ἐστὶν ἄχρι τε τῆς κορυφῆς ἀνιοῦσα τοῦ τροχαντῆρος καὶ συνεπιλαμβάνουσά τι καὶ τῆς ἔνδον χώρας. οὗτος ὁ μῦς [3] ἀνατείνει τε ἅμα καὶ πρὸς τοὐκτὸς ἐπισπᾶται τὴν κεφαλὴν τοῦ μηροῦ. καὶ ἄλλος δέ τις μῦς μικρὸς καὶ παχὺς ἐκ τῶν ἔξω τε καὶ κάτω μερῶν τοῦ τῆς λαγόνος ὀστοῦ καὶ τοῦ κατ' ἰσχίον τὴν ἔκφυσιν ποιησάμενος ὑποφύεται τῷ προειρημένῳ [4] μεγάλῳ μυΐ, τελευτῶν καὶ αὐτὸς εἰς εὔρωστον τένοντα πλατὺν, ἐμφυόμενος τοῖς ἐντὸς μέρεσι τῆς πρώτης ἐκφύσεως τοῦ μεγάλου τροχαντῆρος [5] ἄχρι τοῦ [6] γλουτοῦ. οὗτος ὁ μῦς [7] ἀνατείνει τε ἅμα καὶ πρὸς τοὐκτὸς ἐπιστρέφει τοῦ μηροῦ τὴν κεφαλήν. ὑπόλοιποι δὲ

---

[1] τὰ P. [2] κεφαλῆς P. αὕτη δ' — τροχαντῆρος om. A. [3] ἀνατείνεται ἅμα A. τοῦ μηρ. τὴν κεφ. E. M. glutaeus minimus, qui in obesis et praepinguibus livere a Vesalio dicitur. II. 56. [4] καὶ ἄλλῳ A. — Vesalio audit iliacus internus, quartus femur moventium musculorum. Videtur esse pyriformis, vel potius quadratus femoris. [5] ἐκπεριέχεται (f. ἐμπεριέχεται) δ' αὐτὸς (f. αὐτοῦ ὁ) εἴων (f. τένων) οὗτος ἰσχυρὸς ὢν τὰ πρόσω μέρη τῆς ἐκφύσεως τοῦ τροχαντῆρος add. A. [6] γλουτοῦ. Hoc verbo finitur codex Ambrosianus. Trium foliorum excisorum vestigia in interiore codicis margine supersunt. γλουτὸς cf. de ossibus 21. [7] ἀνατείνεται ἅμα E.

δύο μύες εἰσὶ τῶν κινούντων τὸν μηρὸν, εἰς τὴν [1] ὄπισθεν ἐμφυόμενοι κοιλότητα τοῦ μεγάλου τροχαντῆρος [2] ἰσχυροτέροις τένουσιν ἀτρέμα πλατέσιν· ἐκφύονται δ' ἐκ τῶν τῆς ἥβης ὀστῶν ὅλων, ὁ μὲν ἔσωθεν, ὁ δ' ἔξωθεν· καὶ ἔστιν ἡ τοῦ ἔσωθεν [3] εἰς τὸν τροχαντῆρα κατάφυσις ὑψηλοτέρα, συνεχὴς δέ ἐστιν [4] αὐτῇ καὶ ἡ ἔξωθεν· οὗτοι οἱ μύες καὶ τὸ φυσικὸν τρῆμα κατειλήφασι τοῦ τῆς ἥβης ὀστοῦ, [5] μέσον ἔχοντες ἑαυτῶν ὑμενώδη σύνδεσμον· ὀπίσω δ' [6] εἰς ταὐτὸν ἀλλήλοις ἥκουσι παραφυόμενοι τῷ κατ' ἰσχίον ὀστῷ σαρκώδεσι λαβαῖς. [7] τὸ ἔργον τούτων τῶν μυῶν ἐστι περιστρέφειν τὴν κεφαλὴν τοῦ μηροῦ, ἔσω μὲν ἅμα καὶ πρόσω τοῦ [8] ἔξωθεν μυός, [9] ἔξω δὲ ἅμα καὶ ὀπίσω τοῦ λοιποῦ. δέκατος δ' ἐπὶ τοῖς εἰρημένοις ἐστὶ μῦς ἐκ τῶν ἔνδον μερῶν τοῦ μηροῦ κείμενος, ὃν ἴσως μέν τις καὶ τὴν κνήμην φήσει κινεῖν, ἐναργέστατα [10] μὴν ὅλον προσάγει

---

[1] ὀπισθίαν P. [2] ἰσχυροῖς P. [3] τροχαντῆρος P. [4] αὐτῇ om. P. [5] τὸ add. P. [6] ἐπ' αὐτὸν E. περιφυόμενοι E. [7] τὸ om. O. P. [8] πρώτου P. O. [9] ἔξωθεν E. — M. obturator internus sive marsupialis, cui carneae portiones (marsupium, gemelli) sunt appensae, et externus intelliguntur. Motibus vero contrariis hos musculos parum recte praefecit Galenus. Anat. adm. II. 6. Vesal. II. 56. „licebit augurari, quam is (Galenus) tandem seriem in horum musculorum enarratione observet. Divinandum enim potius et conjiciendum inibi est, quam certo aliquid statuendum.“ — [10] μὲν P. certe G. εἴσω προσάγει P. O. προσάγειν E.

ἔσω τὸν μηρόν. ὀλίγον δὲ ὕστερον ὁποῖός τίς ἐστι διηγήσομαι μετὰ τῶν κινούντων τὴν κατὰ γόνυ διάρθρωσιν, ἐπειδὴ [1] καὶ σὺν αὐτοῖς τέτακται.

λδʹ. Περὶ τῶν κινούντων τὴν κατὰ γόνυ διάρθρωσιν [2] μυῶν.

Ἐννέα μύες εἰσὶν οἱ τὴν κατὰ γόνυ κινοῦντες διάρθρωσιν, οὐχ ὡς ὁ Λύκος οἴεται δέκα, σὺν πολλοῖς καὶ ἄλλοις [3] ἀνδράσιν ἀνατομικοῖς ἀγνοῶν ἕνα μῦν ὅλον, ὑπὲρ οὗ τελευταῖον ποιήσομαι τὸν λόγον, ἐξαπατώμενος [4] δὲ ὑπό τε τοῦ καθήκοντος εἰς τὸν ἐντὸς τοῦ γόνατος κόνδυλον τοῦ μηροῦ καὶ προσέτι τοῦ [5] μεγίστου τούτου κατ' αὐτὸν μυὸς τοῦ τὴν ἔνδον ἅπασαν αὐτοῦ χώραν κατειληφότος, ἐπιλαμβάνοντος δὲ καὶ τῆς ὄπισθεν οὐκ ὀλίγον. ἀλλ' οὗτός [6] γε οὐ μόνον οὐκ ἐμφύεται τῷ τῆς κνήμης ὀστῷ, δέον ἐμφύεσθαι [7] πάντως, εἴπερ γε κινήσειν αὐτὴν ἔμελλεν, ἀλλ' οὐδὲ τοῖς κατὰ [8] τὴν διάρθρωσιν συνδέσμοις, ὡς ἔνιοι τῶν ἀμυδράν τινα κίνησιν ἐργαζομένων μυῶν. αἱ μὲν γὰρ σφοδραὶ [9] πᾶσαι κινήσεις, ὑπερβαινόντων τε τὰς διαρθρώσεις, ἐμ-

---

[1] καὶ om. P. O. [2] μυῶν Ego addidi. [3] ἀνατ. ἀνδρ. P. [4] δὲ om. P. [5] μεγάλου E. τούτων E. τοῦ P. Scripsi τούτου. [6] οὐ μόνον γε οὐκ E. [7] γε add. P. alterumque, quod sequitur, om. [8] τὰ τὴν E. [9] κινήσ. πᾶς P. ὑπερβαινόν τε E.

φυομένων τε τοῖς ἐφεξῆς [1] κώλοις, ἀποτελοῦνται· μικρὸν δέ τι συνεπιλαμβάνουσιν [2] αὐταῖς αἱ τῶν εἰς τοὺς συνδέσμους ἐμβαλλόντων. ἀλλ' ὅ γε μέγιστος τῶν κατὰ τὸν μηρὸν μυῶν οὐκ ἐμφύεται τῇ κατὰ [3] γόνυ διαρθρώσει, καίτοι πλησίον ἀφικνούμενος αὐτῆς. εἰ δέ τις [4] αὐτὸν ἐφάπτεσθαί πως λέγοι τῶν συνδέσμων τῆς διαρθρώσεως, οὐδὲ οὕτως δίκαιον ἦν ἐκείνης μόνης ἴδιον [5] ὑπολαμβάνειν τὸν μῦν τοῦτον· ἀλλ' εἴπερ ἄρα, κοινὸν ἀμφοτέρων τῆς τε ὑπερκειμένης τῆς κατ' ἰσχίον καὶ τῆς νῦν προκειμένης [6] ἡμῖν· τὴν μὲν γὰρ κατ' ἰσχίον ἐναργῶς [7] καὶ σφοδρῶς κινεῖ, ὡς ἂν τὴν ἔκφυσιν [8] ἐξ ὅλου τοῦ τῆς ἥβης ὀστοῦ πεποιημένος καὶ τὴν κατάφυσιν εἰς ὅλον τὸν μηρόν. ἡ δὲ κατὰ γόνυ κίνησις, [9] εἴπερ καὶ ἦν, ἀμυδρά τις ἂν [10] εἴη παντάπασιν, ὡς [11] ὑπ' ἐλαχίστων λαβῶν ἐπιτελουμένη. περὶ μὲν δὴ τοῦ μεγίστου τῶν κατὰ τὸν μηρὸν μυῶν ἱκανὰ καὶ ταῦτα. τῶν δὲ ἄλλων πρῶτος ἐπιπολῆς ἐστιν ὁ στενότατος [12] καὶ μακρότατος, τὴν μὲν ἄνωθεν [13] ἔκφυσιν ἐκ μέσης τῆς ὀρθίας ῥάχεως τοῦ τῆς λαγόνος [14] ὀστοῦ πεποιημένος, διὰ δὲ τῶν ἔνδον

[1] ἐντὸς add. E. [2] αὐτοῖς ἄρα, τῶν E. [3] κατάρνει P. ἄρνυ in mg. καὶ τοῖς πλ. ἀφικνουμένοις E. [4] αὐτῶν P. λέγει P. [5] ἐπιλαμβάνεσθαι E. [6] ὑμῖν E. [7] ἐναρ. ὁρῶμεν καὶ σφοδ. κινοῦσιν E. [8] ἐξ ὅλου om. E. [9] ὕπερθεν καὶ ἀμυδ. E. [10] ᾖν P. [11] ἂν add. P. — M. triceps femoris, de quo antea jam sermo erat. [12] τε καὶ P. O. [13] ἔμφυσιν P. [14] ὀστοῦ om. E.

τοῦ μηροῦ φερόμενος ἐπὶ [1] τὸ γόνυ κἀνταῦθα [2] καταφυόμενος εἰς τὸ καλούμενον ἀντικνήμιον οὐ μετὰ πολὺ τῆς διαρθρώσεως. οὗτος μὲν οὖν κάμπτει τε ἅμα πρὸς [3] τὸ ἐντὸς τὴν κνήμην καὶ ἀνατείνει πως [4] ὑψηλὴν καὶ εἰς τοῦτο ἄγει τὸ σχῆμα τὸ σκέλος σύμπαν, ἐν [5] ᾧ μάλιστα καθίσταται [6] μεταλλαττόντων ἡμῶν αὐτὸ κατὰ θατέρου. ὁ δ' ἐφεξῆς [7] τούτου τὴν ἔμφυσιν ἔχων εἰς τὸ τῆς κνήμης ὀστοῦν οὐ διὰ σαρκώδους πέρατος, [8] ὥςπερ ὁ πρότερος, ἀλλὰ διὰ τένοντος πλατέος ἄρχεται μὲν ἐκ τῶν τῆς ἥβης ὀστῶν, καταφύεται δ' εἰς αὐτὸ μάλιστα τὸ ἀντικνήμιον, ἔσω καὶ αὐτὸς ἐπιστρέφων τὴν κνήμην μετὰ τῆς ἐπὶ τὸ ὄρθιον ἀνατάσεως. ὁ δὲ ὡς τὸ πολὺ μὲν ἐκ τῶν ἔνδον μερῶν, ἐνίοτε δὲ [9] τοῦ προειρημένου βραχὺ κατωτέρω, συνεχὴς αὐτῷ μῦς, ὁμοίως τένοντι καταφυόμενος εἰς τὸ ἀντικνήμιον, κάμπτει τε ἅμα πρὸς τοὐκτὸς καὶ ἐπιστρέφει τὴν κνήμην λοξήν, ὥςπερ καὶ αὐτὰς κεῖται λοξός· ἐκφυόμενος γὰρ ἐκ τῶν κάτω καὶ ἔξω μερῶν τοῦ κατ' ἰσχίον ὀστοῦ κἄπειτα δι' [10] αὐτῶν τῶν ὀπίσω τοῦ μηροῦ μερῶν παρενεχθεὶς λοξὸς, εἶθ' οὕτω

---

[1] τὸ om. E. [2] καταφερόμενος E. — M. sartorius. [3] τοὐκτὸς O. P. in mg. male. [4] ὑψηλὸν E. [5] οἷῳ P. O. [6] μαλαττόντων E. P. μαλάττον τὴν ἡμῶν O. subigentes G. Conjeci μεταλλαττόντων, quod recurrit in hujus musculi descriptione Adm. anat. II. 4. [7] τούτῳ P. O. ἔκφυσιν E. [8] ὡς τὸ πρότερον P. — M. gracilis. [9] βραχὺ τοῦ προειρ. P. [10] αὐτῶν om. P.

[1] τὴν διάρθρωσιν ὅλην ὑπερβὰς τὴν κατὰ γόνυ, μετὰ ταῦτα ἐπιστρέφεται πρὸς [2] τοὐκτὸς καὶ ἐμφύεται λοξὸς [3] εἰς τὸ τῆς κνήμης ἄσαρκον, ὃ δὴ [4] ἀντικνημία ὀνομάζεται. τούτῳ τῷ μυὶ συνεχῆ τὴν ἔκφυσιν ἔχοντες ἄλλοι τρεῖς εἰσι μῦς, ὁ μὲν ἐκ τῶν ἔξω μερῶν [5] τοῦ σκέλους εὔρωστος ἱκανῶς, ὅστις καὶ διὰ τῶν ἐκτὸς τοῦ μηροῦ [6] ἔξωθεν καταφερόμενος ἐμφύεται μετὰ τὸ γόνυ τοῖς ἔξω μέρεσι τῆς κνήμης [7] ἰσχυρῷ καὶ πλατεῖ πέρατι σαρκώδει, πρὸς τοὐκτὸς ἐπιστρέφων αὐτήν. οἱ λοιποὶ δὲ δύο [8] μύες τὴν μὲν ἄνωθεν ἀρχὴν ἐκ τῶν ἔνδον μερῶν ἔχουσι [9] τοῖν προειρημένοιν δυοῖν ἐφεξῆς, ὡς εἶναι [10] τὰς τέσσαρας ταύτας ἐκφύσεις ἀλλήλαις ὁμιλούσας ἐκ τῶν [11] προσθίων μερῶν τῆς βάσεως, ἐκφυομένας τοῦ κατ' ἰσχίον ὀστοῦ. καθήκουσι δὲ ὁ μὲν ἐφεξῆς τῶν προειρημένων δυοῖν [12] μυῶν, ὅσπερ καὶ τὴν χρόαν εὐ-

---

[1] εἰς add. P. [2] τοὐκ. ἐμφ. τε P. [3] ἐπὶ P. [4] ἀντικνήμιον P. — M. semitendinosus sive seminervosus. [5] τοῖς κώλοις E. τοῦ σκέλους om. P. σκέλους O. P. in mg. [6] ἔξωθεν om. E. καταφυόμενος E. [7] ἰσχνῷ Codices. Scripsi ἰσχυρῷ. — M. est biceps femoris, simplex in simiis. In motu atque insertione hujus musculi definiendis Galenus fallitur, quem cursori cuidem haud vulgari inter cursum abruptum spectavit. Adm. anat. II. 4. τοῦτον τὸν μῦν ἐθεασάμεθα δρομέως τινὸς, οὐ τοῦ τυχόντος, ἀποῤῥαγέντα τε καὶ διασπασθέντα. [8] μύες om. O. P. [9] τῶν προειρημένων O. P. [10] τὰς om. E. ταύτας om. P. ἀλλήλας E. [11] ἐμπροσθίων P. ἐμφυομένας P. [12] μυῶν om. P. M. semimembranosus.

ρίσκεται τὸ ἐπίπαν πελιδνός, εἰς τὸ τῆς κνήμης ἔνδον οὐ μετὰ πολὺ τῆς διαρθρώσεως, κάμπτων τε [1] ἅμα καὶ πρὸς τοὐκτὸς ἐπιστρέφων αὐτὴν διὰ τένοντος ἠρέμα στρογγύλου· ὁ δ' αὖ πάλιν ἐφεξῆς [2] τῷδε τοῖς ἔνδοθεν τοῦ μηροῦ μέρεσι τοῖς πρὸ τῆς κατὰ γόνυ διαρθρώσεως ἐμφύεται μέχρι τοῦ κονδύλου τοῦ [3] ἐντὸς, ὅθεν καὶ ὁ ἕτερος τῶν κατὰ τὴν γαστροκνημίαν ἐκπέφυκε μυῶν, ᾧ καὶ αὐτῷ συνεπιφυόμενος ὁ προκείμενος [4] τῷ λόγῳ μῦς συνεπισπᾶται δι' ἐκείνου βραχύ τι τὴν κνήμην ἐπὶ τὰ ἔνδον μέρη καὶ μάλιστα ὅταν ἤδη κατεσκληρυμμένοι τυγχάνωσιν ὄντες. οὗτος ὁ μῦς ἔσω τε ἅμα καὶ ἐπ' ὀλίγον ὀπίσω τὸν μηρὸν [5] ἀπάγει. δέκατον δὲ αὐτὸν [6] ὠνόμασα τῶν κινούντων τὸ κατ' ἰσχίον ἄρθρον. [7] Ἀνεβαλόμην δὲ τὴν διδασκαλίαν ποιήσασθαι τῆς ὅλης φύσεως αὐτοῦ μετὰ τῶν κινούντων τὴν κατὰ γόνυ διάρ-

---

[1] ἀλλὰ P. in mg. ἐπιστρέφων om. E. αὐτὸν E. [2] τῷνδε P. ἐν τοῖς ἔνδον E. μέρ. τοῦ μηρ. P. τῆς πρώτης loco τοῖς πρὸ τῆς E. O. [3] ἐκτὸς P. G. male. [4] ἐν add. P. [5] ἄγει P. ἀπάγων O. — Sexti hujus musculi loco Vesalius II. 53. membranosum habet seu tensorem fasciae latae, Galeno incognitum, qui quemadmodum falsos tibiae motus sibi effinxisse, ita quoque musculum aliquem, sua imaginatione excogitatum, nobis tradidisse a Vesalio insimulatur. Erravit Galenus, erravit saepenumero et ipse Vesalius. Nullum excogitavit Galenus musculum. Est caput tertium quartumve (Douglasii) tricipitis, quem decimum femur moventium musculorum Galenus statuit, ab aliis anatomicis viris tibiae adscriptum. [6] ὠνόμασαν E. [7] ἀνεβαλλόμην P. O.

θρωσιν, ἐπειδὴ σὺν αὐτοῖς τέτακται. [1] μετὰ τοῦτον τὸν μῦν ἀνατμηθέντα γίγνεται κατάδηλος ὁ μέγας μῦς τῶν κατὰ τὸν μηρὸν, οὐδὲ αὐτὸς κινῶν τὴν κατὰ γόνυ διάρθρωσιν, ὑπὲρ οὗ πρόσθεν αὐτάρκως διῆλθον. οἱ δὲ ὑπόλοιποι τρεῖς μύες τῶν κατὰ τὸν μηρὸν οἱ πρόσθιοι τὴν κατὰ γόνυ διάρθρωσιν ἐκτείνουσιν, οἱ μὲν ἐπιπολῆς εὔρωστοι δύο [2] τελευτῶντες εἰς ἰσχυρὸν τένοντα πλατὺν, ὃς ἐμφυόμενός τε καὶ [3] περιφερόμενος ἅπαντι τῷ τῆς ἐπιγονατίδος ὀστῷ [4] προέρχεται μέχρι τῆς κνήμης, ἐμφυόμενος αὐτοῖς τοῖς προσθίοις. ὁ δὲ ὑπὸ τούτοις κατακεκρυμμένος εἴς τι τὴν ἀρχὴν ἐμφύεται τῆς ἐπιγονατίδος καὶ τοῖς περὶ τὴν διάρθρωσιν ἐπιφύεται συνδέσμοις, οὐ νευρώδης ὥσπερ οἱ προειρημένοι τὸ πέρας, ἀλλὰ κατὰ μὲν τὰ πρόσθια σαρκώδης, [5] ὑμενώδης δὲ κατὰ τὰ ἔνδον ποιούμενος. καὶ γὰρ καὶ διπλοῦς σαφῶς ἐστι καὶ ἔγωγε αὐτὸν οὐχ ἕνα μῦν, ἀλλὰ δύο μᾶλλον [6] ἂν ἐτιθέμην, εἰ μὴ τὸ διαφέρεσθαι ταῖς τῶν [7] πρὸ ἐμοῦ [πρεσβυτέρων] διδασκαλίαις ἐφυλαττόμην, ἔνθα μὴ μέγα τι τὸ ἀναγκάζον ἐστίν. αἱ δὲ ἀρχαὶ τῶν προσθίων μυῶν τούτων

---

[1] μετὰ τοῦτον — διάρθρωσιν om. P. Gadald. stellula lacunam signavit. ὑπὲρ οὗ πρ. αὐτ. διῆλθον in Cod. P. expuncta sunt a secunda manu. [2] τελευτῶσιν P. [3] περιφυόμενος P. [4] ἔρχεται E. [5] ὑμενώδης male om. P. G. [6] Addidi ἄν. [7] πρὸ ἐμοῦ om. P. qui πρεσβυτέρων habet. — M. rectus femoris et vastus externus.

τέσσαρές εἰσι τὸν ἀριθμὸν, ἡ μέν τις ἐκ τῆς ἀνάντους ῥάχεως τοῦ τῆς λαγόνιος ὀστοῦ τὴν ἔκφυσιν ἔχουσα, κατωτέρω τοῦ πρώτου πάντων λεχθέντος τοῦ σκονοῦ, ἡ δέ τις ἀπὸ τῶν ἔξωθεν μερῶν τοῦ μηροῦ κατ' αὐτὸν μάλιστα τὸν γλουτόν. αὕτη μὲν οὖν ἡ κεφαλὴ τὸν μέγιστον τῶν προσθίων ἀπογεννᾷ μυῶν, ἅπασαν τὴν ἐκτὸς χώραν κατειληφότα τοῦ μηροῦ, ἡ προειρημένη δὲ [1] τῶν ἄλλων μὲν μείζονα, τούτου δὲ ἥττονά πως τὸ μέγεθος, ἅπασαν καὶ τοῦτον κατειληφότα τὴν [2] προσθίαν χώραν τοῦ μηροῦ καί τι καὶ τῆς ἔνδον. ἔρχονται δ' εἰς ταὐτὸν ἀλλήλοις οἱ δύο μύες οὗτοι καὶ μίαν ἀπονεύρωσιν ἐργάζονται. καθήκουσι δὲ, ὡς εἴρηται, πρόσθεν εἰς τὸ τῆς ἐπιγονατίδος ὀστοῦν. ὁ δ' ὑποκείμενος αὐτοῖς ὁ διπλοῦς μῦς, ὁ περιφυόμενος τῷ μηρῷ, τὴν μὲν ἑτέραν τῶν κεφαλῶν ἁπτομένην ἔχει τῆς τε πρώτης ἐκφύσεως τοῦ μεγάλου τροχαντῆρος καὶ τοῦ κατὰ τὴν κεφαλὴν αὐχένος τοῦ μηροῦ, τὴν δὲ [3] δευτέραν ἐκ τῶν ταύτης κάτω μερῶν ἐκ τῆς [4] προσθίας χώρας ἐκφυομένην τοῦ μηροῦ. καθήκει δ' αὕτη μὲν ἀκριβῶς εὐθεῖα διὰ τῶν προσθίων τοῦ μηροῦ μέχρι τῆς ἐπιγονατίδος [5] ὅλη σαρκώδης μένουσα· ἡ δ' ἑτέρα [6] ἄνωθεν ἀρχομένη, τὸ πέρας ὑμενῶδες ἐργαζομένη, κατὰ τὴν

---

[1] τὸν add. P. [2] πρόσθιον E. [3] ἑτέραν P. [4] προσθίου E. ἐκφυόμενος E. τῶν μηρῶν P. [5] ὅλης E. [6] ἡ add. P. — M. cruraeus et vastus internus.

ἐντὸς κεφαλὴν τοῦ μηροῦ τελευτᾷ. διὸ καὶ πολὺ μᾶλλον ἂν [1] οὗτοι δύο ὀνομάζοιντο μύες ἢ οἱ τὸν ἕνα τένοντα γεννῶντες. οὗτοι μὲν οὖν ἅπαντες οἱ εἰρημένοι μύες ἄνωθεν [2] κάτω φερόμενοι διὰ τοῦ μηροῦ [3] καὶ τὴν κατὰ γόνυ διάρθρωσιν κινοῦντες, ὡς μὲν ἐγώ φημι, δικαιότερον ἂν ἐννέα ῥηθεῖεν· ἵνα δὲ μὴ δοκῶμεν ἐπὶ σμικροῖς διαφέρεσθαι πρὸς τοὺς πρεσβυτέρους ἡμῶν ἀνατομικούς, ὀκτώ. μικρὸς δὲ [4] ἄλλος τις μῦς ἐγκατακέκρυπται τῇ διαρθρώσει κατὰ τὴν ἰγνύαν, σύνδεσμον ἔχων τὴν κεφαλὴν ἰσχυρὸν καὶ στρογγύλον ἐκπεφυκότα κατὰ τὸν ἔξω κόνδυλον τοῦ μηροῦ. καθήκει δὲ οὗτος εἰς τὸ τῆς κνήμης ὀστοῦν, λοξός πως μᾶλλον διὰ τῶν ὀπίσω μερῶν ἐποχούμενος τῇ διαρθρώσει, κάμπτειν αὐτὴν πεφυκώς.

λε'. Περὶ τῶν κατὰ τὴν κνήμην μυῶν ὑφ' ὧν ὅ, τε ποὺς ὅλος καὶ οἱ δάκτυλοι κινοῦνται.

Τεσσαρεσκαίδεκα μύες ἐν κύκλῳ περίκεινται τῇ κνήμῃ, ἑπτὰ μὲν ἐκ τῶν ὀπίσω μερῶν, ἑπτὰ δ' ἐκ τῶν πρόσω. διὰ τί δὲ ὀκτὼ νομίζουσιν [5] ὑπάρχειν αὐτοὺς οἱ μάλιστα ἀκριβῶσαι τὰ τοι-

---

[1] οὗτοι ἢ δύο E. δύο μύες ὀνομάζονται P. [2] καταφερόμενοι P. [3] καὶ om. E. [4] τις ἄλλος P. συγκατακέκρυπται E. κατ' αὐτὴν τὴν P. ἰγνὺν E. — M. poplitaeus. Adm. anat. II. 5. [5] αὐτοὺς ὑπάρχειν P.

αῦτα [1] δόξαντες, ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι λέγεται. τῶν μὲν [2] οὖν ὀπίσω τῆς κνήμης τεταγμένων μυῶν τρεῖς μὲν εἰς τὸ τῆς πτέρνης ὀστοῦν τελευτῶσι, τρεῖς δὲ τοὺς δακτύλους κάμπτουσι καὶ τὴν διάρθρωσιν ὅλου τοῦ ποδός· ὁ δ' ἕβδομος εἰς τένοντα τελευτήσας ὑποφύεται τῷ ψιλῷ καὶ ἀσάρκῳ τοῦ ποδὸς ἅπαντι πλατυνόμενος. τῶν μὲν οὖν εἰς τὴν πτέρναν ἐμφυομένων οἱ δύο μὲν ἀπὸ τῶν ὀπίσω μερῶν ἐκπεφύκασι τῶν ἐνταῦθα τοῦ μηροῦ κεφαλῶν, ὁ τρίτος δὲ ὑποκείμενος αὐτοῖς ἐκ τοῦ τῆς [3] περόνης ὀστοῦ κατ' αὐτὴν τὴν κορυφήν. οὗτος μὲν [4] οὖν σαρκώδης ἄχρι πέρατος μένει, καθήκων [5] εἰς τὸ τῆς πτέρνης ὀστοῦν ὄπισθεν. οἱ δύο δὲ ὅταν εἰς ταὐτὸν ἀλλήλοις ἀφίκωνται καὶ διεξέλθωσι τὴν καλουμένην γαστροκνημίαν, τένοντα γεννήσαντες εὔρωστον ἐμφύονται δι' αὐτοῦ τῷ πέρατι τῆς πτέρνης, ἐφεξῆς τῇ προειρημένῃ καταφύσει τῇ σαρκώδει τοῦ τῆς περόνης ἐκπεφυκότος μυός. ἄλλος δὲ τέταρτος μῦς τὴν αὐτὴν μὲν ἔχει κορυφὴν θατέρῳ τῶν προειρημένων μυῶν [6] τῷ κατὰ τὸν ἔξω κόνδυλον ἐκφυομένῳ τοῦ μηροῦ, κατὰ δὲ τὴν γαστροκνη-

---

[1] δοξάζοντες P. [2] οὖν om. E. οἱ τρεῖς μὲν P. O. τρεῖς δὲ — κάμπτουσι om. E. [3] περώνης E. [4] δὴ P. [5] ἐπὶ P. — M. gemellus Albini sive Gastrocnemii. A fibulae capite procedit carneusque calci inseritur in simiis musculus Soleus, qui Galeno tertius est. Vesal. II. 59. Adm. anat. II. 7. [6] τῶν — ἐκπεφυομένων E. (!) ἐμφυομένων P.

μίαν ἀποχωρίζεται σαφῶς [1] ἀπ' αὐτοῦ καὶ τελευτήσας εἰς [2] εὐρύτατον τένοντα πρῶτον μὲν ὑποτείνεται τῷ τῆς πτέρνης ὀστῷ κάτωθεν πλατυνθεὶς, ἔπειτα δὲ, ὡς εἶπον, ὅλῳ τῷ ποδί. τούτου μὲν [3] οὖν ἡ χρεία δυσπερίτρεπτόν τε καὶ τεταμένον καὶ σκληρὸν, ἔτι [4] δὲ καὶ ψιλὸν τριχῶν εὐαίσθητόν τε κατασκευάσαι τὸ καλούμενον [5] πέλμα, τῶν δ' εἰς [6] τὴν πτέρναν ἐμβαλλόντων ἀπάγειν ὀπίσω μετ' αὐτῆς ὅλον τὸν πόδα. τούτων τῶν τεσσάρων [7] μυῶν οἱ δύο μὲν [8] ἴσοι πώς εἰσι κατὰ τὸ πάχος, ἐξ ὧν συνιόντων ὁ καταφυόμενος εἰς τὴν πτέρναν ἐλέχθη [9] τένων γεννᾶσθαι· ὁ δ' ὑψηλοτέραν τε καὶ σαρκοειδῆ τὴν εἰς αὐτὴν κατάφυσιν [10] λαμβάνων, ἥμισυ μέρος πώς ἐστιν ἑκατέρου τῶνδε, πελιδνὸς [11] τὴν χρόαν. ὁ δὲ τὸν ὑποφυόμενον τῷ ποδὶ γεννῶν τένοντα τρίτον [12] τι μέρος αὐτῶν ἐστι. τῶν δ' ὑπολοίπων τριῶν μυῶν τῶν ὄπισθεν ὁ μὲν τῷ τῆς [13] περόνης ὀστῷ παραφυόμενος ἐκ τῶν [14] [ὀπίσω] ταύτης μερῶν, ὅσπερ [15] τι καὶ μείζων ἐστὶν, εἰς εὔρωστον [16] τελευτήσας τένοντα μεταξὺ τοῦ τῆς πτέρ-

---

[1] ἀπ' om. P. [2] εὔρωστον E. [3] οὖν om. P. [4] τε P. [5] τέλμα P. in textu. — M. plantaris simiarum. [6] τὴν om. E. ἐκβαλλόντων P. [7] μυῶν οἱ om. P. [8] εἴσω E. [9] γενν. τέν. P. [10] λαχὼν P. sortitus G. πως μέρος ἐστὶ P. [11] ὢν add. P. [12] πως P. [13] πτέρνης E. [14] ὀπίσω addidi. Gadaldinus addidit (sublimioribus). [15] τι om. P. [16] πως add. P. — Flexor allicis longus.

νης ὀστοῦ καὶ τοῦ τῆς κνήμης πέρατος ἐπὶ τὰ κάτω τοῦ ποδὸς διεξέρχεται. παράκειται δ' αὐτῷ [1] κατὰ τοῦτο καὶ συνεξέρχεται κατὰ τοῦ ποδὸς ἕτερος τένων ἀπὸ [2] μυὸς γεννώμενος ἐκ τῆς κνήμης ἐκπεφυκότος. οὗτοι μὲν οὖν οἱ δύο τένοντες εἰς τοὺς δακτύλους ἐμφύονται τοῦ ποδὸς, ὁ μὲν πρῶτος εἴς τε τὸν μέσον καὶ τὸν παράμεσον, ὁ δὲ δεύτερος εἴς τε τὸν μικρὸν καὶ τὸν οἷον λιχανόν· ὁ γὰρ μέγας δάκτυλος μόνος τῶν ἄλλων παρ' ἀμφοτέρων ἀπόφυσιν λαμβάνει, οὐ δυοῖν τενόντων εἰς [3] αὐτὸν ἐμβαλλόντων, ἀλλ' ἑνὸς ἐξ ἀμφοῖν γεννηθέντος. ἐνίοτε δὲ τοῦτο καὶ τῷ μέσῳ συμβαίνει δακτύλῳ. ἄλλος δέ τις τένων ἐξ ἑτέρου μυὸς [4] μέσου τῶν εἰρημένων καταφερομένου τὴν ἔκφυσιν ἔχων μετὰ τὸ πλησίον ἀφικέσθαι τῆς πτέρνης ἀποχωρεῖ μόνος ἐπὶ τὰ πρόσω κατά τινος χώρας ἠρέμα κοίλης, [5] ἐστηριγμένος ἐν τῇ τῆς κνήμης ἐπιφύσει κάτωθεν, εἶτα ἐντεῦθεν ἐπιστρεφόμενος αὖθις εἰς τὸ κάτω τοῦ ποδὸς, κατ' αὐτὸν μάλιστα τὸν ταρσὸν ἐμφύεται, πλατυνόμενος ὡς πρὸς τὰ τοῦ μεγάλου δακτύλου

---

[1] καὶ add. E. συνδιεξέρχεται P. κάτω τοῦ ποδὸς P. [2] μηρὸς E. γενόμενος P. — Flexor communis longus digitorum pedis. Divisio tendinum utriusque flexoris longi et brevis in simils differt. Cuvier I. p. 394. Le long fléchisseur du pouce — donne deux languettes perforantes au troisième et quatrième doigts. Le long fléchisseur commun donne deux languettes au deuxième et au cinquième doigts. [3] ταὐτὸ E. [4] μέσον — καταφερόμενος E. [5] ἐστηριγμένης E.

μέρη, μᾶλλον ὀπίσω τε ἅμα καὶ πρὸς [1] τὰ ἐντὸς ἐπιστρέφων ἠρέμα τὸν πόδα, καθάπερ οἱ εἰς τὴν πτέρναν ἐμβάλλοντες ὀπίσω τε ἅμα καὶ πρὸς τοὐκτὸς ἀπῆγον τὸν πόδα. καὶ δόξειεν ἂν ὁ μῦς οὗτος μέρος εἶναι τοῦ προειρημένου μυός, ὃν εἴς τε τὸν μικρὸν δάκτυλον καὶ τὸν οἷον λιχανὸν ἔλεγον ἐμφύεσθαι. μέρος μικρὸν τοῦ προειρημένου τένοντος εἰς τὴν [2] πρώτην ἐμφύεται τοῦ μεγάλου δακτύλου φάλαγγα, λοξὴν ἔκτασιν ἀτρέμα πρὸς τοὐκτὸς ἐργαζόμενον [3] αὐτοῦ. αἱ δ' ἄνωθεν ἐκφύσεις ὧδ' ἔχουσι· τοῦ μὲν εἰς τοὺς δύο [4] δακτύλους τοὺς μέσους ἀφικνουμένου ἡ ἔκφυσις ἐκ τοῦ τῆς [5] περόνης ἐστὶν ὀστοῦ κατὰ μῆκος ὅλης ἐκ τῶν [6] ἄνω μερῶν ἀπὸ τῆς ἄνω κορυφῆς ἄχρι τοῦ κάτω πέρατος, καὶ ἔστιν ἡ τοῦ τρίτου τῶν εἰς τὴν πτέρναν ἐμφυομένων [7] ἀρχὴ μυῶν παρακειμένη τε καὶ ὑπερκειμένη τούτου [8] κατὰ τὰ ὀπίσω τε καὶ ἔνδον μᾶλλον. [9] αὐτὸς γὰρ τὴν ἔκφυσιν ἔχει κατὰ τὰ ἔξω μᾶλλον τοῦ σκέλους. ἡ δὲ θατέρου μυὸς ἀρχὴ τοῦ τὸν μικρόν τε καὶ οἷον λιχανὸν κάμπτοντος ἐκ τῶν ὀπίσω μερῶν τῆς κνήμης ἐστὶ [10] τῶν μετὰ τὴν κεφαλήν. ἔστι δὲ τῷ πάχει σχεδὸν [11] ἥμισυς ὁ μῦς οὗτος τοῦ

τοὺς

---

[1] τοὐκτὸς P. G. male — M. tibialis posticus. [2] προειρημένην P. G. [3] αὐτῷ E. [4] μέσ. ἀφικ. δακτ. P. [5] πτέρνης P. [6] ἄνωθεν P. [7] μυῶν ἀρχὴ P. [8] κατὰ ὀπίσω E. Adjeci τά. τὸ ὄπισθεν P. [9] οὗτος P. [10] τῶν om. P. κατὰ P. [11] ἡμίσης E.

τοὺς μέσους δακτύλους κάμπτοντος. ὁ δὲ τρίτος μῦς ὁ τούτου μέρος νομιζόμενος, ὁ εἰς τὸν ταρσὸν ἐμβάλλων τοῦ ποδὸς, οὐ [1] δύναται μὲν ὀφθῆναι πρὶν τούτους ἀνατμηθῆναι, κατείληφε [2] δὲ τὴν μεταξὺ χώραν κνήμης τε καὶ περόνης, ἀμφοτέροις τοῖς ὀστοῖς [3] παραφυόμενος ἄνωθεν κάτω κατὰ [4] μῆκος. ἔστι δὲ αὐτοῦ καὶ ἡ κορυφὴ κατὰ τὴν [5] ἀρχὴν τῆς κνήμης [6] ἔνθα συμβάλλει τῇ περόνῃ· καὶ ὁ ἀπὸ [7] τούτων φυόμενος τένων [8] σαφὴς ὑπάρχει καὶ πρὸ τῶν σφυρῶν. ἐνταῦθα [9] μέντοι σφίγγονται δι' ἐγκαρσίου συνδέσμου ῥωμαλέου [10] συνδοῦντος τὴν πτέρναν τῇ κνήμῃ. οἱ μὲν οὖν ὄπισθεν [11] τῆς κνήμης μύες οὕτως ἔχουσιν. Οἱ δ' ἔμπροσθεν, ὅσον μὲν ἐπὶ ταῖς πρώταις ἐκφύσεσι [12] συνημμένοι, εἰκότως τρεῖς ἐνομίσθησαν ἐνίοις τῶν ἀνατομικῶν. ἄμεινον δὲ αὐτοὺς ἑπτὰ τίθεσθαι, καθάπερ ἀποδείκνυται διὰ τῶν ἀνατομικῶν ἐγχειρήσεων. ὁ μὲν οὖν ἀνατείνων ὅλον τὸν πόδα καὶ καταφυόμενος εἰς τὸν ταρσὸν, ὅσπερ καὶ μέγιστός ἐστι τῶν προσθίων μυῶν, ἄρχεται μὲν ἐκ τῶν ἔξω μερῶν τῆς κνήμης ἀπ' αὐτῆς τῆς κεφαλῆς, ὅλῃ δὲ αὐτῇ κατὰ μῆκος [13] παραφύεται. ὁ δὲ παρακείμενος αὐτῷ

---

[1] δυνάμενος P. [2] δὲ om. P. [3] ἀναφυόμενος E. [4] τὸ add. P. [5] κεφαλὴν P. [6] εἰ P. [7] τοῦτον E. Scripsi τούτων. ἀποφυόμενος P. [8] συμφυὴς E. [9] μὲν P. σφίγγονται om. E. [10] συνδέοντος P. [11] μύες τῆς κνήμης P. [12] συνίημεν ἂν P. quantum cognosci potest G. [13] περιφύεται P. — M. tibialis anticus.

καὶ μέρος αὐτοῦ νομιζόμενος εἶναι τὴν μὲν [1] *αὐτὴν ἔκφυσιν πεποίηται τὸ ἄνω, τῷ δὲ ἄλλῳ παντὶ κατὰ τοῦ προειρημένου μυὸς ἔξωθεν ἐπιβέβληται,* [2] *μηκέτι ἁπτόμενος μηδαμόθι τῆς κνήμης. οὗτος ὁ μῦς εἰς τὸ πρῶτον ὀστοῦν ἐμφύεται τοῦ μεγάλου δακτύλου ἀνατείνων αὐτὸν ἀτρέμα λοξόν. ἐφεξῆς δὲ τούτων ἐστὶν ἀπονεύρωσις εἰς ὅλον τὸν μέγαν δάκτυλον ἐμβάλλουσα κατὰ μῆκος, ὑφ' ἧς ἐκτείνεται.* [3] *ποιεῖται δὲ τὴν ἔκφυσιν ὁ τῆς ἀπονευρώσεως ταύτης μῦς, ἰσχνὸς ὢν ἱκανῶς, ἐκ τῆς μεταξὺ χώρας κνήμης τε καὶ περόνης, ἀμφοτέρων ἀντιλαμβανόμενος τῶν ὀστῶν. ὅταν δ' ἐγγὺς ᾖ τῷ μεγάλῳ δακτύλῳ, σύνδεσμόν τινα διεξέρχεται τοιαύτην ἔχοντα χρείαν, οἵαν ἐπὶ τῶν ἁρμάτων οἱ κυκλίσκοι, δι' ὧν τὰς ἡνίας* [4] *διεκβάλλουσι. καὶ δύναιτο ἄν τις τοὺς τρεῖς* [5] *μύας τούτους ἕνα νομίζειν. ὁ δὲ μετ' αὐτὸν ὁ τοὺς δακτύλους ἐκτείνων ἄρχεται* [6] *τε ἀπὸ τῆς κεφαλῆς τῆς περόνης, καθὰ συνάπτεται τῇ κνήμῃ, καὶ συμπάσῃ παραπέφυκεν αὐτῇ μακρός,* [7] *ἁπάντων μέσος κείμενος τῶν ἔμπροσθεν μυῶν.*

---

[1] *αὐτοῦ* E. *τῇ ἄνω* E. [2] *μὴ καθαπτόμενος* P. *μηδαμόθεν* P. — M. abductor longus allicis simiarum. Cuvier I. 392. Il y a de plus chez eux (les singes), au côté interne du long extenseur du pouce, un *long abducteur du pouce* qui manque dans l'homme. [3] *ποιεῖ* E. — M. extensor proprius longus allicis. [4] *διεμβάλλουσι* E. [5] *μῦς* P. O. [6] *τε* om. E. [7] *πάντων* P. — M. extensor communis longus digitorum pedis. Vesal. II. 60.

ἡ δὲ ἄνωθεν ἔκφυσις ἡ πρώτη τοῦ μυὸς τούτου σύνδεσμός ἐστιν ἐκ τῶν [1] ἔξω μερῶν τῆς κνήμης ἐκπεφυκὼς παρ᾽ αὐτὴν ἀκριβῶς τὴν κεφαλὴν τῆς περόνης. μετὰ δὲ [2] τοῦτον ἄλλοι τρεῖς μύες εἰσὶν ἐκ τοῦ τῆς περόνης ὀστοῦ τὴν ἔκφυσιν ἔχοντες, εἷς μὲν τὸν μέγαν δάκτυλον κάμπτων τοῦ ποδός, ἕτερος δὲ ἰσχνὸς τὸν μικρὸν ἐκτὸς ἀπάγων, ὁ δὲ τρίτος ἀνατείνων ὅλον τὸν πόδα. τὴν δ᾽ ἔκφυσιν ὁ μὲν πρῶτος ῥηθεὶς ἐξ αὐτῆς τῆς κεφαλῆς ἔχει τῆς περόνης [3] ἐπιπολαίως ἐπὶ τῷ δέρματι τεταμένος· ἀφικνεῖται δ᾽ ἐντεῦθεν ὡς ἐπὶ τὴν πρὸ τοῦ μικροῦ δακτύλου χώραν τοῦ ποδός, [4] παρερχόμενος ἐκ τῶν ἔξω μερῶν τὸν ἀστράγαλον, ἵνα περ καὶ τελευτήσας εἰς τένοντα στρογγύλον διὰ τῶν κάτω μερῶν τοῦ ποδὸς ἐπὶ τὸ πρῶτον ἄρθρον ἀφικνεῖται τοῦ μεγάλου δακτύλου. [5] ἔνθα δ᾽ ἡ τούτου τοῦ μυὸς ἔκφυσις παύεται, τοῦ δευτέρου τῶν εἰρημένων μυῶν ἐστιν ἡ κεφαλή, καὶ οὐ μετὰ πολύ [6] γε τῆς ἀρχῆς ὁ μῦς οὗτος εἰς τένοντα τελευτᾷ [7] στρογγύλον, ἰσχνὸς ὑπάρχων ὅλος. ἐφεξῆς δ᾽ αὐτῶν ἤδη σχεδὸν πλησίον ἐστὶ τὸ μέσον τῆς περόνης, ὅθεν [8] περ ὁ

---

[1] δεξιῶν P. [2] τούτους τρεῖς ἄλλοι P. τούτους τοὺς τρεῖς O. — M. peronaeus longus, brevis et tertius sive medius deinceps sequuntur. [3] ἐπιπολῆς P. ἐπὶ om. E. [4] παρεχόμενος P. amplexatus G. [5] ἐνθάδε E. ἔνθα δὴ P. Scripsi ἔνθα δ᾽. τοῦ δὲ δευτέρου E. [6] γε om. E. [7] στρογγύλος E. [8] περ om. P.

τρίτος μῦς ἐκφύεται ὁ [1] σιμῶν τὸν πόδα· καθήκει [2] δὲ οὗτος ὁ μῦς ἐπὶ τὰ ἐκτὸς μέρη τὰ παρὰ τὸν σφυρὸν καὶ τὸν ἀστράγαλον, εἰς τένοντα τελευτῶν ἕνα καταφυόμενον εἰς τὸ [3] προστεταγμένον ὀστοῦν τοῦ μικροῦ δακτύλου. δισχιδὴς [4] δ' οὗτος κατὰ τὴν ἔκφυσιν γίγνεται τοὐπίπαν ἀνίσοις μέρεσι καὶ διεξέρχεταί [5] γε αὐτῶν μέσος ὁ τὸν μικρὸν δάκτυλον ἐκτὸς ἀπάγων. οἱ τρεῖς δ' οὗτοι μύες εἷς ἐνομίσθησαν [6] ἐνίοις διὰ τὴν κοινωνίαν τῆς πρώτης ἐκφύσεως. τούτων τῶν [7] μυῶν τῶν ἑπτὰ μέγιστος μέν ἐστι καὶ παχύτατος ὁ πρῶτος εἰρημένος· ἴσοι δέ πως ἀλλήλοις ὅ, τε δεύτερος καὶ ὁ πέμπτος, ἄμφω καθήκοντες εἰς τὴν ἀρχὴν τοῦ πρώτου κατὰ τὸν μέγαν δάκτυλον ὀστοῦ, ὁ μὲν δεύτερος ἐκ τῶν ἄνωθέν τε καὶ [8] ἔσωθεν τοῦ ποδὸς, ὁ δὲ πέμπτος ἐκ τῶν ὑποκάτω μερῶν. μετὰ δὲ [9] τοὺς εἰρημένους ὅ, τε μέσος ἁπάντων ὁ τοὺς δακτύλους ἐκτείνων καὶ ὁ ὕστατος εἰρημένος ὁ τὴν διάρθρωσιν [5] ὅλην κινῶν, ἴσοι μέν πώς εἰσι τὸ πάχος, οὐκ ἴσοι δὲ τὸ μῆκος, ἀλλ' ὁ [11] μὲν τοὺς δακτύλους ἐκτείνων μακρότερος· λοιποὶ δὲ δύο μύες [12] οἱ μικροὶ ὅ, τε τρίτος εἰρημένος [13] ὁ ἐπὶ τόν μέγαν καθή-

---

[1] σίμων E. σείων P. O. resimans P. [2] τε καὶ P. ὁ μῦς om. P. [3] προτεταμένον E. [4] δ' om. E. γινόμενος E. [5] τε αὐτὸν P. O. [6] ἐν οἷς E. [7] ἑπτὰ μυῶν P. [8] ἔξωθεν E. male. [9] τῶν εἰρημένων E. [10] κινῶν ὅλην P. [11] μὲν om. P. [12] ὁ μικρὸς P. [13] ὁ om. P. ὅλον om. E.

κων δάκτυλον ὅλον ἄνωθεν καὶ ὁ ἔκτος ἐπὶ τὸν μικρὸν ἔξωθεν· [1] ἀλλ' οὐδὲ οὗτοι κατὰ τὸ πάχος ἀλλήλοις ὑπάρχουσιν ἴσοι, ἀλλ' ἔστιν ὁ ἐπὶ τὸν μέγαν καθήκων δάκτυλον τριπλάσιος καὶ τετραπλάσιος τὸ πάχος· πάνυ γὰρ ἰσχνός ἐστιν ὁ ἐπὶ τὸν μικρὸν καθήκων δάκτυλον· τῷ μήκει δ' ἴσοι [2] πως ἀλλήλοις τυγχάνουσιν ὄντες. ἐν τούτοις μὲν οὖν ἅπασι τοῖς μυσὶν εἰ καὶ [3] παραλέλειπταί τι τοῖς ἀνατομικοῖς ἀνδράσι καὶ [4] ψευδῶς εἴρηταί τι παρεωραμένον, ἀλλ' [5] οὔτι γε μῦς ὅλος ὑπ' αὐτῶν παρῶπται. τὸν δὲ κατὰ [6] τὴν ἰγνύαν ἕνα μῦν οὐκ οἶδ' ὅπως ἅπαντες παρέλιπον, ὄντα μὲν τῷ μήκει βραχὺν, οὐ μὴν ἄῤῥωστόν γε καὶ μάλιστα κατὰ τὴν κεφαλὴν, ἥτις ἐστὶ σύνδεσμος ἰσχυρότατος ἐκφυόμενος τοῦ [7] ἔξωθεν κονδύλου τοῦ μηροῦ. κατακρύπτει δὲ αὐτὸν ἥ τε [8] διάρθρωσις αὕτη καὶ ὁ σύνδεσμος ὁ παρατεταμένος ἔξωθεν, ἐκ τοῦ μηροῦ [9] καθήκων εἰς τὴν κνήμην. ἔστι δὲ ἀτρέμα πως λοξὸς ὁ μῦς οὗτος, καὶ διὰ τοῦτο καὶ τὴν τῆς κνήμης [10] κάμψιν οὐκ ἀκριβῶς εὐθεῖαν, ἀλλ' [11] ἐκκλίνουσαν ἠρέμα πρὸς τοὐκτὸς ἐργάζεται. πεντεκαιδέκατος [12] οὖν ἀριθ-

---

[1] ἀλλ' om. P. οὐδὲ αὐτοὶ P. [2] ἀλλήλ. πως P. [3] παραλέλειπον P. [4] ψεῦδος P. τι om. P. [5] οὔτε E. ὅλως P. [6] τὸν ἰγνὺν P. ἕνα om. P. [7] ἔξω P. [8] διάθεσις E. [9] καθήκων om. P. [10] καμπὴν P. O. [11] ἣ κλίνουσαν E. [12] οὗτος ἡμῖν ἀρ. P. P. ἀριθμεῖσθαι E. — M. poplitaeus. Adm. anat. II. 9.

μείσθω ὁ μῦς οὗτος τῶν κατὰ τὴν κνήμην, ἔσχατος εἰρημένος ἐν τοῖς κινοῦσι τὴν κατὰ γόνυ διάρθρωσιν.

λϛʹ. Περὶ τῶν ἐν τῷ ποδὶ μυῶν.

Οὐχ ὥσπερ ἐν ἄκρᾳ τῇ χειρὶ δύο γένη μυῶν ἐστι, μόνον κατὰ τὸ ἔνδον αὐτῆς ἑκάτερον κείμενον, οὕτως ἔχει κἀπὶ τοῦ ποδός. ἀλλ' οἱ μὲν ὅλους τοὺς δακτύλους τὴν λοξὴν κίνησιν κινοῦντες, ἑπτὰ τὸν ἀριθμὸν ὄντες, ὁμοίαν ἔχουσι θέσιν, ἀνάλογον δὲ καὶ οἱ τὸ πρῶτον ἄρθρον ἑκάστου δακτύλου. δύο δὲ ἄλλα πρὸς τούτοις ἐστὶ γένη μυῶν ἐν ποσὶ, τὸ μὲν ἕτερον ἄνωθεν ἐπικείμενον τῷ ταρσῷ, τὸ δ' ἕτερον ὑποβεβλημένον ὁμοίως κάτωθεν. οἱ μὲν οὖν ἄνωθεν [1] ὅλους τοὺς δακτύλους κινοῦσι λοξὴν κίνησιν, ὁποίαν τοὺς ἐν [2] χερσὶν ἐκεῖνοι οἱ ἐκ τοῦ πήχεως καθήκοντες. οἱ κάτωθεν δὲ τὸ δεύτερον ἄρθρον ἑκάστου τῶν δακτύλων κάμπτουσιν.

---

[1] ὅλους om. P. [2] ταῖς add. P. ἐκείνων οἱ P. ἐκεῖνοι οὖν E. — M. pedis interossei, lumbricales, extensor et flexor communes digitorum breves.

λζ. Τὰ [1] προσεκδοθέντα περὶ τῶν κατὰ πόδα μυῶν.

Ἐπειδὴ τοῖς [2] ἑταίροις ἔδοξε συντομώτερον ἢ κατὰ τὴν τῶν ἄλλων ἀναλογίαν [3] ἑρμηνεῦσαι τὰ κατὰ τὸν πόδα, διὰ τοῦτο τὰ ἐν τῷ δευτέρῳ τῶν ἀνατομικῶν ἐγχειρήσεων εἰρημένα [4] κατὰ λέξιν ἐνταῦθα μετήνεγκαν τόνδε τὸν τρόπον ἔχοντα.

Περὶ τῶν ἐν τῷ ποδὶ μυῶν.

Κατὰ τὸν πόδα τέσσαρα γένη μυῶν εἰσιν, οὐχ ὡς ἐν χειρὶ δύο, τρία μὲν ἐν τοῖς κάτω τοῦ ποδὸς, ἓν δ' [5] ἐν τοῖς ἄνω κατὰ τοῦ ταρσοῦ [6] τεταγμένον. εἰσὶ δὲ καὶ οὗτοι μὲν οἱ μύες [7] πέντε, λοξῶν κινήσεων ἐξηγούμενοι τοῖς δακτύλοις ἀνάλογον τοῖς ἐπὶ τῆς χειρὸς ἔξωθεν· οἱ δ' ὑποκάτω τοῦ ποδὸς, ἑπτὰ μὲν κἀνταῦθα [8] τὰς ἀνάλογον τοῖς ἐπὶ τῆς χειρὸς ἑπτὰ μυσὶ κινήσεις ἕκαστον τῶν δακτύλων [9] κινοῦντες, ὧν οἱ δύο καθάπερ ἐν

---

[1] προεκδοθέντα P. prius edita G. — More suo in hoc libro brevius quum Galenus de pedis musculis exposuisset, amici ex anatomicis administrationibus (II. 9.) hoc caput edito jam libro adjecerunt. Oribasius, qui quae de musculis habet ex nostro libro plerumque hausit, additum hoc caput transscripsit, prorsus neglecto capite breviori, quod antecedit. [2] ἑτέροις Codices. [3] ἠρεμεῖν εὐθῆ κατὰ E. [4] καταλέγειν P. μετήνεγκα P. G. [5] ἐν om E. [6] τεταμένον E. O. [7] ἔτι Gal. in Adm. anat. [8] τὰς om. Adm. ταῖς P. [9] κινούντων P.

τῇ χειρὶ τῶν πρώτων κατὰ τὸν καρπὸν ὀστῶν [1] ἀποφύονται καὶ οὗτοι κατὰ τὸν πόδα τῶν [2] πρώτων κατὰ τὸν ταρσὸν, ἐπὶ πλεῖστον [3] ἀπάγοντες τῶν ἄλλων δακτύλων τοὺς ἔξωθεν. ἄλλοι δ' ἐκ τῶν κάτω μερῶν εἰσι μικροὶ μύες ἐκπεφυκότες [4] τῶν τοὺς δακτύλους καμπτόντων τενόντων, πρὶν ἀκριβῶς ἕκαστον αὐτῶν σχισθῆναι. τὸ δ' ἔργον τούτων τῶν μυῶν κάμπτειν τὸ μέσον ἄρθρον ἑκάστου δακτύλου· τοῖς γὰρ ἐσχισμένοις ἤδη τένουσιν ἕτεροι μικρότεροι μύες ἐπιφύονται τοῖς [5] ἔνδον ἐν τῇ χειρὶ τῆς λοξῆς κινήσεως ἐξηγουμένοις [6] ἑκάστῳ δακτύλῳ τὴν αὐτὴν ἀναλογίαν ἔχοντες. τέσσαρες δέ εἰσι καὶ οὗτοι τὸν ἀριθμὸν ὥσπερ κἀκεῖνοι. προσελθόντων δὲ αὐτοῖς [7] δύο μὲν τῶν τοὺς ἐσχάτους δακτύλους ἐπὶ πλεῖστον ἀπαγόντων, [8] οὓς προειρήκαμεν, ἑνὸς δ' ἔτι τοῦ τὸν μέγαν προσάγοντος τῷ [9] λιχανῷ, τὸ σύμπαν πλῆθος ἑπτὰ γίγνεται. τρίτον δὲ ἄλλο γένος ἐστὶ μυῶν ἐν τοῖς ποσὶ κάτω, [10] αὐτοῖς τοῖς [11] ὀστοῖς ἐπιπεφυκότων, ἀνάλογον τοῖς ἀγνοηθεῖσι τελέως ἐν [12] χερσὶν, οὓς δηλονότι [13] θεάσῃ τοὺς τένοντας πάντας ἐκτέμνων ὥσπερ κἀκεῖ. καὶ ἥ [14] γε

---

[1] ἀπεφύοντο Adm. P. O. αὐτοὶ Adm. [2] μυῶν loco πρώτων E. [3] ἀπάγονται Adm. τοὺς om. Adm. [4] ἐκ add. P. [5] δ' add. P. [6] ὡς add. E. [7] δυοῖν O. P. [8] ὥσπερ εἰρ. P. [9] οἷον add. Adm. O. [10] τῶν add. Adm. O. P. [11] ποσὶ O. P. in mg. [12] τελέως μυσὶ O. ἐν μυσὶ P. in mg. [13] τεθέασαι E. ἐκτεμὼν Adm. P. O. [14] γένεσις E.

θέσις αὐτῶν πᾶσα καὶ ὁ ἀριθμὸς καὶ ἡ χρεία κατὰ τοὺς ἐν τῇ χειρὶ προειρημένους ἐστί. δύο γὰρ ἑκάστου δακτύλου τῆς πρώτης διαρθρώσεως [1] προτεταγμένοι κάμπτουσι μετρίως αὐτὴν, ἅμα μὲν ἐνεργήσαντες ἰσόῤῥοπον, ἰδίᾳ δ' ἑκάτερος [2] ἐγκλίνων [3] ἠρέμα πρὸς τὸ πλάγιον. εὑρίσκονται δ' ἐνίοτε συνεχεῖς ἀλλήλοις οὕτως ὡς ἕνα δοκεῖν [4] εἶναι καθ' ἕκαστον δάκτυλον.

---

[1] προτεταμμένοι E. [2] ἐκκλίνων E. ἀμβλύνων Adm. [3] ἀτρέμα O. P. in mg. [4] εἶναι om. E.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΕΘΩΝ.

Τῶν θεραπευτικῶν σκοπῶν ἕνα καὶ τὸν ἀπὸ τῶν ἐθῶν ἡγουμένων ὑπάρχειν οὐ μόνον τῶν ἀρίστων ἰατρῶν, ἀλλὰ καὶ πάντων ἀνθρώπων, ἔνιοι τῶν ἅπασι τοῖς καλοῖς λυμαινομένων ἐπιχειροῦσι διαβάλλειν ἐρωτῶντες ἡμᾶς, διὰ τί βλαβείς τις, εἰ οὕτως ἔτυχε, κατὰ τὴν πρώτην χρῆσιν ὑπὸ [1] βοείων κρεῶν ἐδωδῆς, εἶτ' ἀναγκασθεὶς καθ' ἑκάστην ἡμέραν ἐσθίειν ταῦτα δι' ὅλου [2] ἔτους ἢ οὐδὲν οὐκέτι βλάπτοιτ' ἂν ἢ [3] τῶν ἀήθων ἧττον· εἶθ' ὅ, τι ἂν [4] εἴπωμεν, ἀνατρέποντες λόγῳ νομίζουσιν ἅμα τούτῳ καὶ τὴν τοῦ πράγματος ὕπαρξιν ἀνῃρηκέναι, καθάπερ εἴ τις ἁπάσαις ἀντειπὼν ταῖς περὶ τοῦ πῶς ὁρῶμεν δόξαις οὐδ' ὁρᾶν ἡμᾶς συγχωροίη. ὅτι μὲν οὖν μεγίστη μοῖρα πρὸς τὴν τῶν ἰαμάτων εὕρεσιν ἡ ἀπὸ τῶν ἐθῶν ἐστιν, ἐναργῶς φαίνεται· καὶ διὰ τοῦθ' Ἱππο-

---

F. Codex Florentinus bibliothecae Laurentianae Plut. LXXV. cod. VII. Bombycinus, manu Joannicii exaratus, 244 foliorum, saec. XIV in folio. Inde a folio 237. b. Galeni de consuetudine liber legitur.

[1] Ovinarum Nicol. Rhegin. Calaber. [2] mensem. [3] quam ante. [4] εἴπομεν F.

κράτης μὲν ἐν ἀφορισμοῖς ἔγραψεν· οἱ [1] εἰθισμένοι τοὺς συνήθεις πόνους φέρειν, κἂν ὦσιν ἀσθενέες [2] ἢ γέροντες, τῶν ἀσυνήθων ῥᾷον φέρουσι· ἐπὶ πλεῖόν τε διῆλθεν ἐν τῇ περὶ διαίτης ὀξέων τάς τ᾽ ἐκ τῆς ἀήθους διαίτης βλάβας καὶ τὰς ἐκ τῆς συνήθους ὠφελείας. Ἐρασίστρατος δ᾽ ὁμοίως ἐν τῷ δευτέρῳ περὶ παραλύσεως ὑπὲρ ἁπάντων ἐθῶν ὡσαύτως Ἱπποκράτει φαίνεται γιγνώσκειν. καὶ πρὸς τούτοις γε τῶν παλαιῶν ἰατρῶν οὐκ ἔστιν ὅστις οὐχ ὁμολογουμένην τε καὶ [3] ἀναντίλεκτον αἰτίαν οὔτε τούτων [4] οὔτε τῶν ἄλλων εἰρηκέναι δοκεῖ. καὶ γὰρ οἱ πιθανὴν δόξαντες εὑρηκέναι, κατὰ μίαν ὕλην ἄλλοι ἄλλην εὑρήκασιν, ἔνιοι μὲν ἐπὶ ἐδεσμάτων μόνων, ἔνιοι δ᾽ ἐπὶ γυμνασίων ἢ ἐπιτηδευμάτων, ἐπὶ πασῶν δὲ τῶν ὑλῶν οὐδείς. ἀμέλει καὶ περὶ τῆς τοῦ ψυχροῦ δόσεως, ἣν ἐπὶ τῶν ὀξέως νοσούντων ποιούμεθα πολλάκις, ἀντιπράττουσιν ἡμῖν ἔνιοι κωλύοντες μὲν διδόναι τοῖς πυρέττουσι, κελεύοντες δ᾽ ἡμᾶς ἀρκεῖσθαι ταῖς ἀπὸ τῶν ἄλλων σκοπῶν ἐνδείξεσιν, [5] ὡς ἀπό τε τῶν πεπονθότων πάντων καὶ τῆς ἐν αὐτοῖς διαθέσεως, ἡλικίας τε καὶ χώρας καὶ ὥρας, ἔτι τῆς τοῦ κάμνοντος αὐ-

---

[1] *εἰθισμοὶ* F. Aphor. II. 49. [2] *ἢ* / *οἱ* } F. [3] *ἀναντίλλεκτον* F. [4] *τις* add. F. quod omisi. Num *τιν᾽* pro *τινὰ* legi possit? [5] *ἃς* F. Scripsi *ὡς*. indicationes, quas et a *locis* affectis — usurpare consuevimus. Calab. ac si *αἷς* loco *ἃς* legisset et *οἷς* quod sequitur omisisset.

τοῦ κράσεως καὶ δυνάμεως, οἷς εἰώθαμεν χρῆσθαι, γελοῖον εἶναι φάσκοντες, εἰ φλεγμαίνοντος ἥπατος ἢ πνεύμονος ἢ γαστρὸς ἢ τῶν οὕτως ἐπικαίρων μορίων, ἐπιτρέψομεν τῷ ψυχροπότῃ ψυχρὸν προσφέρεσθαι πόμα δι' οὐδὲν ἄλλο ἢ τὸ ἔθος· * ὃ [1] [ταὐτὸν εἶναί φασιν ὡς εἰ ἐπιτρέποιμεν ψυχρῷ λούεσθαι τοὺς οὕτω] ἠθικότας, εἰ πυρέττοιεν, ὥσπερ ἡμῶν ἅπασι [2] τοῖς ὁπωσοῦν νοσοῦσι τὰ συνήθη πάντα πράττειν ἐπιτρεπόντων· ἀλλ' οὐχὶ πρὸς τοῖς ἄλλοις ἅπασι σκοποῖς καὶ τὸν ἀπὸ τῶν ἐθῶν παραλαμβάνουσιν. Ἀριστοτέλης γοῦν ὁ Μιτυληναῖος, ἀνὴρ πρωτεύσας ἐν τῇ περιπατητικῇ θεωρίᾳ, νοσήματι περιπεσὼν ὑπὸ ψυχροῦ πόσεως ὠφεληθῆναι [3] δυναμένῳ, διότι μηδέποτε τοιοῦτο [4] προσήνεγκε τὸ πόμα, διεκώλυσε τοὺς συμβούλους αὐτῷ πιεῖν, ἐπίστασθαι σαφῶς εἰπὼν ὅτι [5] ἐπιλαθήσοιτο γευσάμενος ψυχροῦ· καὶ γὰρ ἐπ' ἄλλου τοῦτ' ἔφασκεν ἑωρακέναι, τήν τε τοῦ σώματος ἕξιν [6] καὶ κρᾶσιν [7] ὁμοίου ἑαυτῷ καὶ τὸ τῆς θερμοποσίας ἔθος ἐσχηκότος·

---

[1] ὃ ἠθικότας F. Aeque enim hoc esse aiunt, ac si concedatur, aqua frigida lavari eos, qui ita assueti sunt, licet febricitent. Cal. Explenda est lacuna Cod. Flor. iis verbis, quae uncinis inclusi vel similibus. [2] τῶν F. Scripsi τοῖς. [3] δυναμένου F. [4] προσενήνεγκε F. [5] ἐπιλαθήσοιτο F. barbare. Fort. ἐπιλήσοιτο se sui obliturum i. e. mortem obiturum esse. Nicol. Rheginus: se spasmo correptum iri. Fortassis legit σπασθήσοιτο Conjeci ἐπιληφθήσοιτο. [6] τε add. F. Omisi. [7] ὅμοιον F.

εἰ δ' ἦν ἔθος, ὥσπερ ἐνίοις, πόματος τοιούτου, μάλιστα μὲν ἂν οὐδ' αὐτὸς ἔδεισεν αὐτοῦ τὴν προσφοράν. [1] εἰ δὲ καὶ τοῦτ' ἔπαθεν, [2] ἐάσαντες ἂν οἱ παρόντες ἰατροὶ πάντως αὐτόν. ἐκεῖνος μὲν οὖν οὕτως ἀπέθανεν ὡς ἐπυθόμην. [3] ἐρομένων δέ με τῶν παραγενομένων αὐτῷ τελευτῶντι, πότερον ὡς ἐπ' ἄλλων ἐτόλμησα τοῖς μὲν δι' ὅλης τῆς νόσου, τοῖς δ' ἔν τινι καιρῷ δοῦναι ψυχρὸν, εὐλαβουμένων τῶν ἰατρῶν, οὕτως ἐτόλμησα καὶ ἐπ' ἐκείνου [4] ἢ καλῶς ἐστοχάσατο τῆς ἑαυτοῦ φύσεως ὁ ἀνὴρ, ἀπεκρινάμην αὐτοὺς, ἀκριβῶς ἑαυτὸν ἐστοχάσθαι. πάνυ γὰρ ἦν ἰσχνὸς καὶ τὸ στόμα τῆς κοιλίας ψυχρότερον εἶχεν ἐξ ἀρχῆς, ὡς λύζειν εὐθέως, εἴ ποτε βραχέως ψυχθείη. ἀλλ' ὥσπερ οὗτος οὐκ ἂν ἤνεγκε τὸ ψυχρὸν πόμα διά τε τὸ ἔθος καὶ τὴν τοῦ σώματος φύσιν, καίτοι τοῦ νοσήματος ἐνδεικνυμένου, οὕτως [5] ἑτέροις ἔδωκα πάνυ θαῤῥῶν, εἰ καὶ καῦσος [6] ἀκριβὴς ὁ πιὼν εἴη, μηδενὸς ἐπιφανῶς σπλάγχνου φλεγμήναντος, οὐ πάνυ [7] δ' ἔτι θαῤῥῶν, ἀλλὰ μετὰ τὸ προειπεῖν τοῖς οἰκείοις τοῦ κάμνοντος, εἰ μὲν μὴ πίοι ψυχροῦ, τεθνήξεσθαι πάντως τὸν ἄνθρωπον·

---

[1] Nicolaus: tandem tamen medicis eum omnino compellentibus, frigidam potavit. — Ego verto: Sin etiam illud pateretur (i. e. aquam frigidam biberet), omnes medicos ipsum omnino relicturos esse (sc. mortuum) dicebat. [2] Conjeci ἐάσειαν ἄν. [3] ἐρωμένων F. [4] εἰ F. [5] ἑτέρως F. [6] ἀκριβῶς F. Fort. καυσούμενος ἀκριβῶς. [7] δέ τι F.

εἰ δὲ πίοι, πολλὰς ἐλπίδας ἕξειν σωτηρίας, οὕτως ἔδωκα καὶ σὺν θεῷ φάναι πάντες ἐσώθησαν οἱ λαβόντες, ὥστε πολυχρονίῳ πείρᾳ [1] κεκριμένου τοῦ βοηθήματος, ἐπὶ τὴν τῆς αἰτίας ζήτησιν ἰτέον [2] ἀναμνήσαντας πρότερον ὧν [3] ἔγραψαν ὁ μὲν Ἱπποκράτης ἐν τῷ περὶ διαίτης ὀξέων, ὁ δ' Ἐρασίστρατος ἐν τῷ δευτέρῳ περὶ παραλύσεως. ἡ μὲν οὖν Ἱπποκράτους ῥῆσις οὕτως ἔχει· — Ἀλλὰ μὴν [4] εὐκαταμάθητόν γέ ἐστιν ὅτι φαύλη δίαιτα βρώσεώς τε καὶ πόσεως [5] αὐτὴ ἑωυτῇ ἐμφερὴς αἰεὶ ἀσφαλεστέρη ἐστὶ τὸ ἐπίπαν εἰς ὑγείην ἢ εἴ τις ἐξαπίνης μεταβάλλοι εἰς ἄλλο κρεῖσσον, ἐπεὶ καὶ τοῖσι δίς σιτευομένοισι τῆς ἡμέρας καὶ τοῖσι [6] μονοσιτέουσιν ἐξαπίναιοι μεταβολαὶ βλάβας καὶ ἀῤῥωστίην παρέχουσι. καὶ τοὺς μέν γε μὴ μεμαθηκότας ἀριστᾷν, ἢν ἀριστήσωσιν, εὐθέως ἀῤῥώστους ποιέει καὶ βαρέας ὅλον τὸ σῶμα καὶ ἀσθενέας καὶ ὀκνηρούς· ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, [7] ὀξυρεγμιώδεας· ἐνίοισι δ' ἂν καὶ [8] σπα-

---

[1] κεκριμμένου F. [2] ἀναμνήσαντες F. [3] ἐγράψαμεν F. [4] εὐκαταμαθητέον τε F. εὐκαταμάθητόν γε Hipp. de vict. rat. in morb. acut. Lind. p. 279 et sqq. [5] αὐτῇ F. [6] μονοσιτεύουσι F. [7] ὀξυρεγμώδεας F. [8] σπατάλη. Erotian. τῶν ἅπαξ εἰρημένων. κεῖται ἐπὶ διαῤῥοίας. σπατίλη Galen. τὸ ὑγρὸν διαχώρημα. Spatile Nicol. Codices Hippocratis et παστείλη et σπατείλη et σπατήλη habent. παστίλη Cod. 469 Monacensis, olim Augustanus, qui Galeni in hunc Hippocratis librum commentarios continet.

τάλη γένοιτο, ὁκόταν παρὰ τὸ ἔθος [1] ἠχθοφορήκῃ ἡ κοιλίη εἰθισμένη ἐπιξηραίνεσθαι καὶ μὴ δὶς διογκοῦσθαι μηδὲ δὶς ἑψεῖν τὰ σιτία· — εἶτα μεταξὺ παρενθεὶς ὅπως ἄν τις τὴν βλάβην τούτων ἰάσαιτο, συνάπτων αὖθις ὑπὲρ τῶν παραβάντων τὸ ἔθος οὕτως γράφεται· — Ἔτι [2] μᾶλλον ἂν πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς [3] φάγοι τῆς ἡμέρης ἐς κόρον, ἔτι δὲ μᾶλλον εἰ πλεονάκις, καίτοι γε πολλοί εἰσιν οἱ εὐφόρως φέρουσι τρὶς σιτεόμενοι τῆς ἡμέρης ἐς πλῆθος, ἐὰν οὕτως ἐθισθῶσιν. ἀλλὰ μὴν καὶ οἱ δὶς μεμαθηκότες σιτέεσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, ἀσθενεῖς τε καὶ ἄῤῥωστοί εἰσι καὶ δειλοὶ ἐς πᾶν ἔργον καὶ καρδιαλγέες. [4] κρεμασθέντα γὰρ τὰ σπλάγχνα δοκέει αὐτέοισι καὶ οὐρέουσι θερμὸν καὶ χλωρὸν καὶ ἡ ἄφοδος ξυγκαίεται. ἔστι δ' οἷσι καὶ τὸ στόμα πικραίνεται καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται καὶ οἱ κρόταφοι πάλλονται καὶ τὰ ἄκρα διαψύχονται. καὶ οἱ μὲν πλεῖστοι τῶν [5] ἀνηριστηκότων οὐ δύνανται κατεσθίειν [6] τὸ δεῖπνον· δειπνήσαντες δὲ βαρύνουσι τὴν κοιλίην καὶ δυσκοιτέουσι πολὺ μᾶλλον ἢ εἰ προηριστήκεσαν. ὁπότε οὖν τὰ τοιαῦτα τοῖς ὑγιαίνουσι γίγνεται εἵνεκα ἡμίσεος ἡμέρης διαίτης μεταβολῆς παρὰ τὸ ἔθος,

---

[1] ἠχθοφόρηκεν F: ἀχθοφορήσῃ Hipp. [2] μ ἄλλον F. [3] φάγοι τε F. fort. φάγοιτο. σιτέοιτο Hipp. [4] κρεμᾶσθαι Hipp. [5] ἠριστηκότων F. qui pransi non sunt Nic. ἀνηρ. Hipp. ἀριστηκότων Cod. Monac. [6] οἱ ἠριστηκότες add. F. male.

οὔτε προσθεῖναι λυσιτελὲς φαίνεται οὔτε ἀφελεῖν. εἰ τοίνυν οὗτος ὁ παρὰ τὸ ἔθος μονοσιτήσας, ὅλην τὴν ἡμέρην κενεαγγήσας δειπνήσειεν ὁκόσον εἴθιστο, εἰκὸς αὐτὸν, [1] εἰ τότε ἀνάριστος ἐὼν ἐπόνεε καὶ ἠῤῥώστει, δειπνήσας δὲ τότε βαρὺς ἦν, πολὺ μᾶλλον [2] βαρὺν εἶναι. εἰ δέ γ' ἐπὶ πλείονα χρόνον κενεαγγήσας ἐξαπίνης [3] μεταδειπνήσειεν, ἔτι μᾶλλον ἂν βαρύνοιτο. — Μετὰ ταῦτα δὲ πάλιν ὁ Ἱπποκράτης ὥσπερ καὶ πρόσθεν ἐπανορθώσεις τινὰς τῆς γιγνομένης βλάβης ἐπὶ τοῖς κενεαγγήσασι παρὰ τὸ ἔθος γράψας ἐφεξῆς πάλιν οὕτως φησί· — Πολλὰ δ' ἄν τις ἠδελφισμένα τουτέοισι τῶν ἐς κοιλίην καὶ ἄλλα εἴποι, ὡς εὐφόρως μὲν φέρουσι τὰ βρώματα ἃ εἰθισμένοι εἰσὶν, ἢν καὶ μὴ ἀγαθὰ ᾖ φύσει, ὡσαύτως δὲ καὶ τὰ ποτά· δυσφόρως δὲ φέρουσι τὰ βρώματα ἃ μὴ [4] ἠθάδες εἰσὶ [5] καὶ ἢν [μὴ] κακὰ ᾖ, ὡσαύτως δὲ καὶ τὰ ποτά· καὶ ὅσα μὲν [6] κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος [7] ποιέει ἢ σκόροδα ἢ σίλφιον ἢ ὀπὸς ἢ καυλὸς ἢ ἄλλα ὅσα τοιουτότροπα μεγάλας δυνάμιας ἔχοντα, [8] ἧσσον ἄν τις θαυμάσειεν εἰ τὰ τοι-

[1] ἐνίοτε ἀνάριστον F. [2] βαρύνεσθαι Hipp. [3] μεγαδειπνήσειεν copiose coenaverit. Codex quidam. Lectiones aliquot variantes Juntinae Galeni editionis (1576) margini additae sunt. [4] ἠθαδά σε F. εἰθισμένοι εἰσὶ Hipp. εἰθίδαται Cod. Paris. 2253. [5] ἢν καὶ καλὰ ᾖ Hipp. ἢν μὴ καὶ καλὰ (κακὰ Cod. Marcian. ἀγαθὰ Paris.) ᾖ Codd. ἢν καὶ μὴ κακὰ ᾖ Cod. Monac. Galen. Comment. bene. [6] κρεωφαγείη F. [7] βρωθεῖσα add. Hipp. [8] ἰδίας add. Hipp.

τοιαῦτα πόνους ἐμποιέει τῇσι κοιλίῃσι μᾶλλον ἄλλων, ἀλλ' εἰ καταμάθοις, ὅσον μάζα ὄχλον καὶ ὄγκον καὶ στρόφον καὶ φῦσαν τῇ κοιλίῃ παρέχει παρὰ τὸ ἔθος βρωθεῖσα τῷ [1] ἀρτοφαγέειν εἰθισμένῳ ἢ [2] οἷον ἄρτος βάρος καὶ τάσιν κοιλίης τῷ μαζοφαγέειν εἰθισμένῳ ἢ αὐτός γε ἄρτος [3] [θερμὸς] βρωθεὶς οἵην δίψην παρέχει καὶ ἐξαπιναίην πληθώρην διὰ τὸ ξηραντικόν τε καὶ βραδύπορον, καὶ οἱ ἄγαν καθαροί τε καὶ ξυγκομιστοὶ παρὰ τὸ ἔθος βρωθέντες οἷα διαφέροντα ἀλλήλων ποιέουσι, καὶ μάζα γε ξηρὴ παρὰ τὸ ἔθος ἢ ὑγρὴ ἢ γλίσχρη, καὶ τὰ ἄλφιτα οἷόν τι ποιέει τὰ ποταίνια τοῖσι μὴ εἰωθόσι καὶ τὰ ἑτεροῖα τοῖσι τὰ ποταίνια εἰωθόσι, καὶ οἰνοποσίη καὶ ὑδροποσίη παρὰ τὸ ἔθος εἰς θάτερα μεταβληθέντα ἐξαπίνης, καὶ ὑδαρής γε οἶνος καὶ ἄκρατος ἐξαπίνης ποθείς. ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήσει καὶ φῦσαν ἐν τῇ κάτω, ὁ δὲ παλμόν τε φλεβῶν καὶ καρηβαρίην καὶ δίψος· [4] καὶ λευκός τε καὶ μέλας οἶνος [5] παρὰ τὸ ἔθος μεταβάλλουσιν, εἰ καὶ ἄμφω οἰνώδεες εἶεν [6] ὁμοίως,

---

[1] μὴ μαζοφαγέειν Hipp. ἀρτοφαγεῖν Cod. Paris. et Gal. in Comment. [2] οἷον — εἰθισμένῳ Codd. Hipp. plerique omittunt. Sunt in Gal. Comment. et Codice Hippocratis Bessarionis Veneto, qui στάσιν pro τάσιν perperam scribit. [3] θερμὸς om. F. [4] καὶ om. F. [5] καὶ ἄκρατος ἐξαπίνης ποθείς, ὁ μὲν γὰρ πλαδαρόν τε καὶ παρὰ etc. F. repetit oculorum errore ex antecedentibus [6] ὅμως Hipp.

πολλὰ ἂν ἑτεροιώσειαν κατὰ τὸ σῶμα, ὡς [1] δὴ γλυκύν τε καὶ οἰνώδεα ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι μὴ τοῦτο δύνασθαι ἐξαπίνης μεταβληθέντα. — Παρὰ μὲν Ἱπποκράτει ἀρκεῖ τὰ δεῦρο τοῦδε γεγραμμένα παραδείγματα περὶ τῆς τῶν ἐθῶν δυνάμεως. Ἐρασίστρατος δ᾽ ἐν τῷ δευτέρῳ περὶ παραλύσεως ὧδέ πως ἔγραψεν· — Δεῖ δὲ πολλὴν πάνυ ἐπίσκεψιν ποιήσασθαι περὶ συνηθείας καὶ ἀσυνηθείας τὸν μέλλοντα κατὰ τρόπον ἰητρεύειν, λέγω δὴ [2] τῷ τοιούτῳ, πόνους τοὺς μὲν συνήθεις πολλοὺς [3] πονοῦντες ἄκοποι διατελοῦσιν ὄντες, τοὺς δὲ ἀσυνήθεις ὀλίγους ποιήσαντες ὑπόκοποι γίγνονται, βρώματά τε ὅσα συνήθη δυσπεπτότερα ὄντα [4] ἔνιοι ῥᾷον πέττουσιν ἢ τὰ [5] ἀσυνήθη εὐπεπτότερα ὄντα. ἐκκρίσεις δὲ τὰς συνήθεις [6] κἂν ἀλυσιτελεῖς ὦσιν, εἰς συνήθειαν δὲ ἥκωσιν, ἐπιζητεῖ τὸ σῶμα καὶ ἀποστερούμενον τούτων εἰς νόσους ἐμπίπτει, οἷον γίγνεται περί τε τὰς τῶν αἱμοῤῥοΐδων φορὰς καὶ καθάρσεις, ἃς ἔνιοι αὐτοῖς συνήθεις ποιοῦνται, καὶ δὴ ἑλκῶν κατὰ χρόνον ἐκπιπτόντων καὶ ἰχωροῤῥοούντων, καὶ ὡς ἐνίοις κατά τινας καιροὺς χολέραι γίγνονται. ἁπάσας γὰρ τὰς τοιαύτας ἐκκρίσεις ἀλυσιτελεῖς οὔσας ἐπιζητεῖ τὸ σῶμα καὶ, μὴ γιγνομένων αὐτῶν κατὰ τοὺς εἰθισμένους και-

---

[1] δεῖ F. [2] Fort. τὸ τοιοῦτο. [3] πονοῦντας F. [4] ἔνια F. [5] συνήθη F. [6] καὶ F.

ρους, εἰς πάθη οὐ σμικρὰ ἐμπίπτουσιν οἷς συνήθεια τὰ τοιαῦτα. φαίνεται δὲ καί τινα τοιαῦτα γιγνόμενα κατὰ τὰς συνηθείας ὧν ἐπιστάμεθα ἐπῶν ἰάμβων, εἴ τις κελεύσειεν ἡμᾶς εἰπεῖν ἐκ μέσου [1] στίχους δύο ἢ τρεῖς ἀσυνήθεις ὄντας τοῦ τοιούτου, οὐκ ἂν εὐπόρως [2] δυναίμεθα· κατὰ δὲ τὴν ἐφεξῆς ἀρίθμησιν ἐπὶ τοὺς αὐτοὺς τούτους ἐλθόντες στίχους, ἐξ ἑτοίμου ῥᾳδίως ἐροῦμεν, συνεθιζόμενοι δὲ καὶ τὸ πρότερον εἰρημένον εὐπόρως ποιοῦμεν. συμβαίνει δὲ καὶ τοιοῦτόν τι· οἱ μὲν ἀσυνήθεις τοῦ μανθάνειν βραδέως τε καὶ ὀλίγον μανθάνουσι, συνηθέστεροι δὲ γενόμενοι πολὺ πλεῖον καὶ ῥᾷον τοῦτο ποιοῦσι. γίγνεται δὲ καὶ περὶ τὰς ζητήσεις ὅμοιον· οἱ μὲν γὰρ ἀσυνήθεις τὸ παράπαν τοῦ ζητῆσαι ἐν ταῖς πρώταις κινήσεσι τὴν διάνοιαν τυφλοῦνται καὶ ἀποσκοτοῦνται καὶ εὐθέως ἀφίστανται τοῦ ζητεῖν, [3] κοπιοῦντες τῇ διανοίᾳ καὶ ἐξαδυνατοῦντες οὐχ ἧττον ἢ ὅσοι πρὸς δρόμους ἀσυνήθεις ὄντες προσέρχονται· ὁ δὲ συνήθης τῷ ζητεῖν πάντη διαδυόμενός τε καὶ ζητῶν τῇ διανοίᾳ καὶ μεταφερόμενος ἐπὶ πολλοὺς τόπους οὐκ ἀφίσταται τῆς ζητήσεως, οὐχ ὅτι ἐν μέρει ἡμέρας, ἀλλ' οὐδὲ ἐν παντὶ βίῳ ἀναπαύων τὴν ζήτησιν καὶ μεταφέρων ἐπ' ἄλλας ἐννοίας τὴν διάνοιαν οὐκ ἀλλοτρίας

---

[1] στίχου F. ex medio versu Nicol. [2] δυνάμεθα F. [3] Fort. κοπιῶντες.

μὲν τοῦ ζητουμένου [1] προβάλλει ἕως ἐπὶ τὸ προκείμενον ἐλθεῖν. οὕτως φαίνεται ἄχρι νῦν τὰ τῆς συνηθείας ἰσχύειν ἐν ἅπασι τοῖς ἡμετέροις πάθεσιν ὁμοίως τοῖς τε ψυχικοῖς καὶ τοῖς σωματικοῖς. περὶ μὲν δὴ τούτων εἰς τὸ παρὸν ἱκανῶς εἰρήσθω· ἐν δὲ τοῖς καθόλου λόγοις ὑπὲρ ἰατρικῆς λεγομένοις ἐπὶ πλέον ἐξηρίθμηται ἀναγκαίαν ἔχοντα τὴν ἐπίσκεψιν, [2] εἰ μέλλοι μὴ πολλὰ τῶν κατ' ἰατρικὴν χωλεύειν. — Ταῦτα μὲν οἱ ἐνδοξότατοι τῶν ἰατρῶν Ἐρασίστρατος καὶ Ἱπποκράτης εἰρήκασι περὶ δυνάμεως ἐθῶν, οὐ λόγῳ τὴν εὕρεσιν αὐτῶν ἀνατιθέντες, ἀλλ' ἐκ τῶν ἐναργῶς φαινομένων διδαχθέντες, ὅπερ ἀμέλει καὶ τῶν ἄλλων ἀνθρώπων, [3] [εἰ] μὴ καθάπερ ὕες ἢ ὄνοι ζῶσιν, ἀλλὰ παρακολουθοῦσιν ὑφ' ὧν ὠφελοῦνταί τε καὶ βλάπτονται. πάρεστι γοῦν αὐτῶν ὁσημέραι [4] [ἀκοῦσαι] λεγόντων, εἴθισται, φησὶ, τῷδε τῷ βρώματι καὶ τῷδε τῷ πόματι, καὶ διὰ τοῦτο μὴ δύνασθαι καταλιπεῖν αὐτά· καὶ γὰρ καὶ βλάπτεσθαι κατὰ τὰς μεταβολάς. ὁμοίως δὲ καὶ περὶ τῶν ἐπιτηδευμάτων λέγουσιν, οἷον ἀλουσίας, λουτρῶν, ἱππασίας, κυνηγεσίων, δρόμου, πάλης, ἀγρυπνιῶν, ἡλιώσεως, [5] ψύξεως, φροντίδων ὅσα τ' ἄλλα τοιαῦτα.

---

[1] προβάλλειν F. progreditur Nic. [2] ἢ F. [3] εἰ addidi. Fort. τοῖς. [4] ἀκοῦσαι addidi. Nicolaus: licet ipsos audire dicentes. f. εἰθίσθαι. [5] ψύξεων F. φροντίδων om. Nicol.

β'. Τίς ἡ αἰτία τοῦ πολὺ δύνασθαι τὸ ἔθος.

Καταφρονήσαντες οὖν καὶ ἡμεῖς τῶν ἤτοι μηδὲν πάνυ ἢ σμικρὸν ἡγουμένων εἰς θεραπείαν συντελεῖν τὸν ἀπὸ τῶν ἐθῶν σκοπὸν, ἐπισκεψόμεθα τί ποτέ ἐστιν ἡ αἰτία τοῦ πολὺ δύνασθαι τὸ ἔθος καὶ εἴτε μία τις ἐστὶν ἢ καὶ καθ' ἑκάστην ὕλην [1] ἑτέρα. λέγω δ' ὕλην ἐφ' ᾗ συνέστη τὸ ἔθος οἷον, ὡς ἔφην, ἐδεσμάτων ἢ πομάτων ἢ γυμνασίων ἤ τινος ἑτέρου τοιούτου. καὶ γάρ τήν γε ἀρχὴν ἐπὶ τῶν ἐσθιομένων τε καὶ πινομένων ποιησόμεθα. τί δήποτε γὰρ οἱ τῇ τῶν βοείων κρεῶν ἐδωδῇ συνήθως χρώμενοι, τινὲς μὲν οὐδ' ὅλως βλάπτονται, τινὲς δὲ ἧττον ἢ πρόσθεν; ἢ διὰ τί κατὰ φύσιν τινὲς εὐθὺς ἐξ ἀρχῆς, ὡς αὐτὸς Ἐρασίστρατος ἔγραψε, ῥᾷον πέττουσι τὰ βόεια [2] κρέα τῶν πετραίων ἰχθύων; ἀλλὰ τούτου μὲν ἡ αἰτία λέλεκται κατὰ τὴν τῶν φυσικῶν δυνάμεων ἐπίσκεψιν· εἰρήσεται δὲ καὶ νῦν ὀλίγον ὕστερον ἐν τῇ τοῦ λόγου κοινωνίᾳ. νυνὶ δ' ἀπὸ τῶν δι' ἔθος ἄμεινον πεττόντων ὁτιοῦν ἐδεσμάτων τὴν ἀρχὴν τῆς διδασκαλίας ποιήσομαι, κοινὴν ὑπόθεσιν λαβὼν εἴς τε τἄλλα πάντα καὶ τὰ φύσει τισὶν οἰκεῖά τε καὶ οὐκ οἰκεῖα. Λέλεκται μὲν οὖν ἐπὶ πλέον ὑπὲρ ἁπάν-

---

[1] ἑτέραν F. [2] κρέη F.

των τούτων κατὰ τὴν τῶν [1] φυσικῶν δυνάμεων ἐπίσκεψιν. ἀρξώμεθα δὲ καὶ νῦν τοῦ λόγου τὴν τῆς πέψεως ἔννοιαν προχειρισάμενοι. καθάπερ γὰρ [2] ἄρτιοι σιτοποιοὶ πέττοντες λέγουσιν, οὐκ ἐπειδὰν ἀλοῦντές τε καὶ [3] διάττοντες εἰς λεπτὰ μόρια καταθραύσωσι τοὺς πυρούς, ἀλλ' ὅταν ἐπὶ τῷ τοιοῦτον πρᾶξαι δεύσαντες ὕδατι, ζύμην μίξαντες μαλάξωσιν, [4] εἶτα καλύψαντές τινι τῶν θαλπόντων ἐάσωσιν, ἄχρις ἂν ὡς αὐτοὶ καλοῦσι ζυμωθῇ, καὶ μετὰ ταῦτα διὰ κλιβάνων ἢ ἰπνῶν ὀπτήσωσιν, οὕτω κἀπὶ τῶν εἰς γαστέρα καταποθέντων, οὐκ ἐπειδὰν ἐν αὐτῇ [5] καταθραυσθῇ καὶ λυθῇ, πεπέφθαι φαμέν, ἀλλ' ὅταν ὡς οἱ πεττόμενοι πυροὶ κατὰ ποιότητα τὴν μεταβολὴν σχῇ. καθάπερ δ' ἐπὶ τῶν ἄρτων εἰς τὴν οἰκείαν ἡμῖν τοῖς ἐσθίουσιν ἀχθῆναι χρὴ ποιότητα τὸν πεττόμενον σῖτον, οὕτω καὶ κατὰ τὴν κοιλίαν ἔτι καὶ μᾶλλον εἰς οἰκειοτέραν, ὀνομάζω δ' οἰκειοτέραν ἑτέραν ἑτέρας, κατὰ τὴν ὁμοιότητα τοῦ μέλλοντος ἐξ αὐτῆς τρέφεσθαι σώματος. ἄλλο γὰρ ἄλλῳ σώματι τῶν τρεφόντων οἰκεῖόν ἐστι,

---

[1] Charterius: Fortassis legendum τροφῶν. [2] Nicolaus: quemadmodum enim pistores panem coquere debent. Vertas: Quemadmodum enim legitimi pistores, qui panem coquunt, adpellantur. Conjicio: ἀρτοποιοὶ σιτ. πέττ. λέγονται. ἄρ'τι ιοι F. (sic!) [3] διάττω et διαττάω reperiuntur. [4] et panes effecerint. Nicol. καὶ ἄρτους ποιήσωνται. Fort. haec verba om. Cod. F. [5] καταθραυστῇ F. . .

καὶ διὰ τοῦτο τὰ ζῶα πρὸς τὰς οἰκείας ἔρχονται τροφὰς, ἀδιδάκτως ὑπὸ τῆς φύσεως ὠθούμενα, τὰ μὲν ὑποζύγια πρός τε τὰς βοτάνας, [1] τρέφεταί τε ἄχυρα καὶ χιλὴν καὶ κριθὴν, οἱ λέοντες δὲ πρὸς τὰς σάρκας, ὥσπερ καὶ παρδάλεις καὶ λύκοι. Καθάπερ οὖν ἐν τοῖς ζώοις κατὰ γένος αὐ μικρὰ διαφορὰ τῶν οἰκείων ἑκάστῳ τροφῶν ἐστιν, οὕτω καὶ κατ' εἶδος ἐν τοῖς γένεσιν εὑρίσκονται διαφοραὶ μεγάλαι, τῶν μὲν μηδὲ γεύσασθαι δυναμένων οἴνου, πάμπολυ δ' ἑτέρων ἀλύπως πινόντων, καὶ τῶν μὲν, ὡς εἴρηται, τά τε τῶν βοῶν καὶ τράγων καὶ κριῶν κρέα μεθ' ἡδονῆς μὲν ἐσθιόντων, πεττόντων δ' ἀλύπως, [2] τῶν δὲ μηδὲ τὴν ὀσμὴν αὐτῶν ὑπομενόντων, μήτι γε τὴν ἐδωδὴν, καὶ [3] εἰς διαπορίαν ἐδέσματος ἑτέρου, καθάπερ ἐν λιμῷ γίγνεται, βιασθέντες σφᾶς αὐτοὺς προσάρασθαι τὸ τοιοῦτον κρέας, οὔτε πέψαι δυναμένων αὐτὰ χωρὶς βλάβης, ἀνατρεπομένων τε τὴν ὄρεξιν ἐπὶ τῇ προσφορᾷ, βαρυνομένων τε παραχρῆμα, κἂν ἐρυγή τις αὐτοῖς ἐπιγένηται, μηδὲ ταύτης ἀλύπως ἀνεχομένων. ὅτι [4] δὲ ταῦθ' οὕτως ἔχειν φαίνεται, πρῶτον μὲν ἐκείνου χρὴ μεμνῆσθαι τοῦ προσφέρεσθαι τοὺς ἀνθρώπους [5] ἥδιον ἄλλον ἄλλο κατὰ τὴν οἰκειό-

---

[1] τρέφεταί τε om. Nicol. ad herbas, paleam, foenum etc. χιλὴ rarior forma pro χιλός. [2] τῶνδε F. [3] Fort. εἰ δι' ἀπορίαν — βιασθεῖεν. [4] τε F. [5] ἴδιον F. quae suaviora sunt Nicol. Scripsi ἥδιον.

τητα τῆς φύσεως, ἔρχεσθαί τε πρὸς τὴν τῶν τοιούτων ἐδωδὴν μᾶλλον, ὥσπερ γε καὶ πρὸς τὴν τῶν εὐπέπτων αὐτοῖς εἶναι φανέντων, ἀποστρέφεσθαι δὲ καὶ φεύγειν ἀπὸ τῶν ἀηδῶν καὶ δυσπέπτων, ὥστε σημεῖον εἶναι τὸ ἔθος οἰκειότητος φυσικῆς. ὅτι δὲ καὶ ὡς αἰτία γίγνεται πολλάκις, δῆλον ἐκ τῶν ἐν ἀρχῇ μὲν ἀηδῶς ἢ βλαβερῶς ὑπό τινων διατιθεμένων, εἰ δὲ κατὰ βραχὺ τὴν πρὸς αὐτὰ συνήθειαν ὑπομείναιεν, οὔτε ἀηδῶς οὔτε βλαβερῶς ἔτι διατιθεμένων. ἡ δ' αἰτία καὶ τοῦδε τοιαύτη ἐστίν.

γ'. Διὰ τί τὸ ἔθος ποτὲ καὶ αἴτιον γίγνεται οἰκειότητος φυσικῆς.

Ὥσπερ ἀλλοιοῦται κατά τινα ποιότητα τῶν ἐσθιομένων τε καὶ πινομένων ἕκαστον, οὕτω καὶ [1] αὐτὸ διατίθησί πως τὸ ἀλλοιοῦν. ἔνεστι δὲ καὶ τούτου λαβεῖν ἐναργὲς τεκμήριον ἐκ τῆς τῶν γεννωμένων χυμῶν διαφορᾶς ὑφ' ἑκάστου τῶν ἐδεσμάτων. τὰ μὲν γὰρ μελαγχολικὸν αἷμα γεννᾷ, τὰ δὲ φλεγματικὸν ἢ τὴν ὠχράν τε καὶ ξανθὴν ὀνομαζομένην χολὴν οὐκ ὀλίγην [2] ἔχον, ὥσπερ ἔνια καθαρόν [3] αἷμα. διαφορὰν οὖν τινα καὶ τοῖς τρεφομένοις μορίοις ἀναγκαῖον γίγνεσθαι πρὸς ἄλληλα κατὰ τὴν τοῦ τρέφοντος αἵματος ἰδέαν. ἐναργὲς

---

[1] αὐτῷ — τῷ F. ipsum afficit id quod alterat. Nic.
[2] ἔχων F. [3] θαῖμα F.

δὲ τεκμήριον τῆς τῶν τρεφόντων [1] ὁμοιώσεως πρὸς τὸ [2] τρεφόμενον [3] τῇ τῶν φυτῶν τε καὶ σπερμάτων μεταβολῇ μέχρι τοσούτου γιγνομένη πολλάκις, ὡς τὸ βλαβερώτατον ἐν ἑτέρᾳ γῇ μεταφυτευθὲν εἰς ἑτέραν γῆν οὐ μόνον ἀβλαβὲς, ἀλλὰ καὶ χρήσιμον γίγνεσθαι. πολλὴ γὰρ καὶ ἡ τούτων πεῖρα τοῖς τὰ γεωργικά τε καὶ περὶ φυτῶν ὑπομνήματα συνθεῖσι, καθάπερ γε καὶ τὰ περὶ τῆς τῶν ζώων ἱστορίας γράψασι [4] τῇ κατὰ τὰ χωρία γιγνομένη μεταβολῇ. ἐπεὶ τοίνυν οὐ μόνον ἀλλοιοῦται τὸ τρέφον ὑπὸ τοῦ τρεφομένου, ἀλλὰ καὶ αὐτό πώς τινα ἀλλοιοῖ βραχεῖαν ἀλλοίωσιν, ἀναγκαῖόν ἐστι τὴν βραχεῖαν ταύτην ἀξιόλογον ἐν τῷ χρόνῳ γίγνεσθαι, ὥστ' εἰς ἴσον ἥκειν οἰκειότητι φυσικῇ τὴν ἐκ τῶν πολυχρονίων ἐθῶν. Ἐπὶ μὲν οὖν τῶν ἐσθιομένων τε καὶ πινομένων εὐπορεῖσθαί μοι δοκῶ τὴν αἰτίαν τῆς τῶν ἐθῶν δυνάμεως· ἐπὶ δὲ τῶν ἔξωθεν ἡμῖν προσπιπτόντων ἴδωμεν ἑφεξῆς.

δ'. Περὶ τῆς αἰτίας τοῦ πολὺ δύνασθαι τὸ ἔθος ἐπὶ τοῖς ἔξωθεν ἡμῖν προσπιπτόντων.

Ἔοικε γὰρ καὶ ταῦτα τὴν αὐτὴν κατὰ γένος ἔχειν αἰτίαν τοῖς προειρημένοις. ἀλλοίωσιν οὖν

---

[1] ὁμοίως F. assimilationis Nic. [2] τρέφον F. contra sensum. quod nutritur. Nic. [3] f. ἡ — μεταβολή. [4] transmutationis secundum regiones factae. Nic.

τινα ἐργάζεται κατὰ τὸ σῶμα, μάλιστα μὲν τῶν ἐπιπολῆς μορίων, ἤδη δὲ καὶ τῶν διὰ βάθους. πιλεῖται μὲν γὰρ καὶ συνάγεται καὶ σφίγγεται καὶ πυκνοῦται τὸ δέρμα πρῶτον μὲν ὑπὸ τῶν ψυχόντων, ἐφεξῆς δὲ καὶ τὰ [1] τούτῳ συνεχῆ, κἂν ἐν χρόνῳ πλείονι τὴν αὐτὴν ἀλλοίωσιν πάσχῃ τὸ σῶμα, καὶ τοῖς διὰ [2] βάθους ἡ κοινωνία τῆς μεταβολῆς γίγνεται. κατ' ἀρχὰς δ' εὐθέως κατὰ συμβεβηκὸς, οὐ πρώτως, ὑπὸ τοῦ δρῶντος αἰτίου μεταβολὴ καὶ ἀλλοίωσις οὐχ ἥκιστα τοῖς ἐν τῷ βάθει κειμένοις συμπίπτει. πυκνωθέντος γὰρ τοῦ δέρματος ἀθροίζεται κατὰ τὸ τοῦ σώματος ὅλου βάθος ἡ θερμασία. ὥσπερ δὲ τὸ [3] ψυχρὸν αὕτη τὰς εἰρημένας ἀλλοιώσεις ἐργάζεται, κατὰ τὸν αὐτὸν λόγον τὰς ἐναντίας αὐτῷ τὸ θερμαῖνον. καὶ γὰρ [4] φύσιν ἔχει, πρὸς τῶν ἐναντίων γίγνεσθαι τὰ ἐναντία, τὰ μὲν πρώτως, τὰ δὲ κατὰ συμβεβηκὸς, ἐφ' ὧν δὴ καὶ μάλιστα σφάλλονται πολλοὶ θεώμενοί τινα κατὰ συμβεβηκὸς ὡσαύτως ἐπιτελούμενα πρὸς τῶν ἐναντίων, ὥσπερ γε πάλιν καὶ ἐναντία πολλάκις ὑπὸ τῶν αὐτῶν [5] αἰτίων γιγνόμενα. ἀμέλει κἀπὶ τῶν θερμαινόντων ὁμοίως ἀπατᾶσθαι συμβαίνει. τὸ γοῦν θερμὸν αἴτιον οἷον ὁ ἥλιος, ὁπόταν ὁμιλήσῃ τινὶ σώματι πολυχρονίως, ἐναντίαν διάθεσιν τῇ κατ'

---

[1] τούτων F. [2] βάθος F. [3] Fort. ψῦχον. [4] Fors. addendum κατὰ. [5] αἴτια F. ab eisdem causis Nic.

ἀρχὰς ἐργάζεται περὶ αὐτό. ἐν ἀρχῇ μὲν γὰρ ἀλεαίνων ἡμᾶς διαχεῖ μὲν τὰ ὑγρὰ, χαλᾷ δὲ τὸ δέρμα καὶ μαλακωτέρας ἐργάζεται τὰς σάρκας. εἰ δὲ πλείοσιν ἡμέραις ὥρᾳ θέρους ἐν αὐτῷ διατρίψειέ τις γυμνὸς, αὐχμηρὸν μὲν καὶ σκληρὸν τούτῳ γίγνεται τὸ δέρμα, ξηραὶ δὲ αἱ σάρκες. ἀλλ' ἐπὶ μὲν τῶν τοιούτων οὐ μόνης τῆς πολυχρονίου θερμασίας τοὔργον, ἀλλὰ καὶ τῆς ἐζευγμένης αὐτῇ ξηρότητος. καὶ πολλάκις γε ἡμᾶς ἐν τοῖς περὶ τῶν αἰτίων λογισμοῖς σφάλλει τοῦτο, παρορωμένης τῆς ἐπιπλεκομένης αἰτίας. ἐχρῆν γὰρ ἡμᾶς ἐννοεῖν, ἕτερον μέν τι δρᾷν τὴν ὑγρὰν θερμασίαν, ἕτερον δὲ τὴν ξηρὰν, ὅπερ οὐ [1] ποιοῦμεν ἐνίοτε, καὶ διὰ τοῦτο [2] σφαλλόμεθα. τὴν οἰκείαν ἐνέργειαν, ἑκατέρων τῶν αἰτίων παρόντων. εἰ δέ τις προσέχοι τὸν νοῦν, εἴσεται φυλαττομένην ἑκατέραν. ὥσπερ γὰρ ἡ μὲν ὑγρότης μόνη χωρὶς θερμότητος ἢ ψύξεως ἐπιφανοῦς ὑγραίνει τὸ σῶμα, τῆς θερμότητος θερμαινούσης, οὕτως ἡ σύνοδος ἀμφοτέρων ἀμφότερα φαίνεται δρῶσα. κατὰ μὲν τὰ τῶν γλυκέων ὑδάτων λουτρὰ συμβαίνει τοῦτο, κατὰ δὲ [3] τὰ εἱληθερῆ τὸ ξηραῖνον αἴτιον ἐπιπλέκεται τῷ θερμαίνοντι, του-

---

[1] ποιοῦμαι F. facimus Nic. [2] Fallimur, dum familiarem actionem utrarumque non perspicimus. Nic. Vertas: fallimur de propria actione, utraque causa quum praesens adsit. [4] τὰς (ὰ) εἱληθερεῖς (ῆ) } F.

οὗτος γὰρ ὁ θερινὸς ἥλιος, ὥστε εἰκὸς, ὅσοι γυμνοὶ τὸ πλεῖστον ἐν αὐτῷ διατρίβουσιν ὥσπερ οἵ τε θερισταὶ καὶ οἱ ναῦται, σκληρὸν καὶ ξηρὸν αὐτῶν γίγνεσθαι τὸ δέρμα παραπλησίως τῷ τῶν [1] φολιδωτῶν ζώων. ὥσπερ οὖν αἱ φυσικαὶ τῶν σωμάτων ἰδιότητές τε καὶ τῆς ὅλης οὐσίας, διαφοραί τε τοῦ δέρματος κατὰ σκληρότητα καὶ μαλακότητα, πυκνότητά τε καὶ μανότητα, διαφόρων μὲν ἐδεσμάτων τε καὶ πομάτων χρήζουσι, οὐχ ὁμοίως δ' ἀλλήλαις ἅπασαι διατίθενται θερμαινόμεναί τε καὶ ψυχόμεναι, οὕτως αἱ δι' ἔθος [2] τι γιγνόμεναι ταῖς φυσικαῖς [3] παραπλήσιαι τὴν αὐτὴν ἐκείναις ἴσχουσιν ὠφέλειάν τε καὶ βλάβην ἐκ τῆς τῶν ἐσθιομένων τε καὶ πινομένων, ψυχόντων τε καὶ θερμαινόντων ἀλλοιώσεως. ἀραιὸν μὲν γὰρ καὶ μαλακὸν σῶμα ῥᾳδίως πάσχει θερμαινόμενόν τε καὶ ψυχόμενον· πυκνὸν δὲ καὶ σκληρὸν ἀνέχεταί τε καὶ καταφρονεῖ τῶν ἔξωθεν αὐτῷ προσπιπτόντων ἁπάντων, οὐ μόνον εἰ θερμαίνοιεν ἢ ψύχοιεν, ἀλλ' εἰ καὶ σκληρὸν εἴη τι καὶ τραχύ. διὸ καὶ χαμευνίας ἀνέχεται ταῦτα, τῶν ἐναντίως διακειμένων οὐ φερόντων αὐτά. καὶ γὰρ θλᾶται ῥᾳδίως καὶ ψύχεται καὶ πᾶν ὁτιοῦν ἑτοίμως πάσχει. τοιοῦτος μὲν δή τις ἐστὶ καὶ ὁ περὶ τούτων λόγος.

---

[1] Qualis est animalium, quae in latibulis degunt. Nic. Vertas: animalium squamigerorum [2] τε F. [3] παραπλησίαν F. similes Nic.

ε'. Περὶ γυμνασίων.

Ὁ δὲ περὶ γυμνασίων τοιόςδε. τὰ γυμναζόμενα μόρια τοῦ σώματος ἰσχυρότερά τε ἅμα καὶ τυλωδέστερα γίγνεται καὶ κατὰ τοῦτο δύναται φέρειν τὰς οἰκείας κινήσεις μᾶλλον ἑτέρων, ὅσα δι᾽ ἀγυμνασίαν μαλακώτερά ἐστι καὶ ἀσθενέστερα. κοινὸς δ᾽ ὁ λόγος οὗτος ὑπάρχει καὶ περὶ τῶν τῆς ψυχῆς γυμνασίων· γυμναζόμεθα γὰρ πρῶτα μὲν ἐπὶ τοῖς γραμματικοῖς ἔτι παῖδες ὄντες, εἶθ᾽ ἑξῆς παρά τε τοῖς ῥητορικοῖς διδασκάλοις, ἀριθμητικοῖς τε καὶ γεωμετρικοῖς καὶ λογιστικοῖς. οὐσῶν γὰρ δυνάμεων κατὰ τὸ τῆς ψυχῆς ἡγημονικὸν εἰς ἁπάσας τέχνας, ἀναγκαῖον ἑτέραν μὲν εἶναι καθ᾽ ἣν ἀκόλουθόν τε καὶ μαχόμενον γνωρίζομεν, ἑτέραν δὲ καθ᾽ ἣν μεμνήμεθα· συνετώτεροι μὲν κατὰ τὴν προτέραν εἰρημένην, μνημονευτικώτεροι δὲ κατὰ τὴν δευτέραν γιγνόμεθα, φύσιν ἐχουσῶν ἁπασῶν τῶν δυνάμεων ὑπὸ μὲν τῶν γυμνασίων αὐξάνεσθαί τε καὶ ῥώννυσθαι, βλάπτεσθαι δ᾽ ὑπὸ τῆς ἀργίας, ὥς που καὶ [1] Πλάτων ἐν Τιμαίῳ κατὰ τήνδε τὴν ῥῆσιν ἐδήλωσεν ὀνόμασιν, εἰπὼν ὧδε· καθάπερ εἴπομεν πολλάκις ὅτι τρία ψυχῆς ἐν ἡμῖν εἴδη κατῴκισται, τυγχάνει δὲ ἕκαστον κινήσεις ἔχον, οὕτω καὶ κατὰ τὰ αὐτὰ καὶ νῦν ὡς διὰ βραχυτάτων ῥητέον,

[1] Platon. Tim. p. 89 et 90.

ὅτι τὸ μὲν αὐτῶν ἐν ἀργίᾳ διάγον καὶ τῶν ἑαυτοῦ κινήσεων ἡσυχίαν ἄγον [1] ἀσθενέστατον ἀνάγκη γίγνεσθαι, τὸ δ' ἐν γυμνασίοις ἐῤῥωμενέστατον. [2] διὸ φυλακτέον ὅπως ἂν ἔχωσι κινήσεις πρὸς [3] ἄλληλα συμμέτρους. — Ταῦτα προειπὼν ἐφεξῆς φησι· τὸ δὲ δὴ περὶ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτοδαίμονα ὁ θεὸς ἑκάστῳ δέδωκε τοῦτο ὃ δή φαμεν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν ὡς ὄντας φυτὸν οὐκ ἔγγειον, ἀλλ' οὐράνιον, ὀρθότατα [4] λέγοντες· ἐκεῖθεν γὰρ ὅθεν [5] ἡ πρώτη τῆς ψυχῆς γένεσις ἔφυ, τὸ θεῖον τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν [6] ἀνακρεμαννὺν ὀρθοῖ πᾶν τὸ σῶμα. τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμίας καὶ περὶ φιλονεικίας [7] τετευχηκότι καὶ ταῦτα διαπονοῦντι σφόδρα πάντα τὰ δόγματα, ἀνάγκη [8] θνητὸν γεγονέναι, καὶ παντάπασι καθ' ὅσον μάλιστα δυνατὸν θνητῷ γίγνεσθαι, τούτου μηδὲ σμικρὸν ἐλλείπειν, ἅτε [9] τοσοῦτον ηὐξηκότι· τῷ δὲ περὶ φιλομαθίας καὶ περὶ τὰς τῆς ἀληθείας φρονήσεις ἐσπουδακότι τῶν [10] αὐτοῦ γεγυμνα-

---

[1] ἀσμενέστατον F. Platonis haec verba e Platone emendavi, in Galeno intelligi si prorsus non poterant. Codicis Florentini lectiones accuratissime sub textu notavi.
[2] διαφυλακτέον F. [3] ἀλλήλας F. [4] λέγοντι F. [5] αἱ πρῶται — γενέσεις F. [6] ἀνακρεμαννύων F. [7] τετευτακότι Plat.
[8] θνητὰ ἐγγεγ. Plat. Fort. θνητῷ γεγ. [9] τὸ τοιοῦτον Plat.
[10] αὐτῶν γεγυμνασμένων F.

σμένῳ φρονεῖν μὲν ἀθάνατα καὶ θεῖα,[1] ἄνπερ ἀληθείας ἐφάπτηται, πᾶσα ἀνάγκη [2] που, καθ' ὅσον δ' αὖ μετασχεῖν ἀνθρωπίνῃ φύσει ἀθανασίας ἐνδέχεται, τούτου μηδὲν μέρος [3] ἀπολιπεῖν, ἅτε [4] δὲ ἀεὶ θεραπεύοντα τὸ θεῖον ἔχοντά τε [5] αὐτὸν κεκοσμημένον τὸν δαίμονα ξύνοικον ἐν αὑτῷ διαφερόντως εὐδαίμονα εἶναι. θεραπεία δὲ δὴ [6] παντὸς σώματος μία, τὰς οἰκείας ἑκάστῳ τροφὰς καὶ κινήσεις ἀποδιδόναι. — Ἐν τούτοις τοῖς λόγοις ὁ Πλάτων περὶ τῶν τριῶν τῆς ψυχῆς εἰδῶν ἐδίδαξεν ἡμᾶς οὐ μόνον εἰς φιλοσοφίαν τι χρήσιμον, ἀλλὰ καὶ τὴν τοῦ σώματος ὑγίειαν, ἀκολουθήσας Ἱπποκράτει καὶ κατὰ τοῦτο καθόλου μὲν εἰπόντι· κίνησις κρατύνει, ἀργίη τήκει· κατ' εἶδος δ' ἐπὶ γυμνασίων αὖθις ἐν τῷ φάναι· πόνοι σιτίων ἡγείσθωσαν· ἐπὶ δὲ τῶν κατὰ μέρος εἰδῶν ἁπάντων προσέχειν χρὴ τὸν νοῦν ἀκριβῶς τοῖς λεγομένοις· [7] [πόνοι, σιτία, ποτά,] ἀφροδίσια, πάντα μέτρια· διὸ κἀντεῦθεν προσέχειν χρὴ τὸν νοῦν ἀκριβῶς τοῖς λεγομένοις· ἔχει γάρ τινα παρακοὴν ὁμοίως τοῖς ἄλλοις ἅπασι λόγοις, ἐάν τις ἀμελῶς ἀκούῃ καθάπερ ἔνιοι. γυμνάζεσθαι γὰρ ἕκαστον τῶν ὄντων

---

[1] ἅπερ ἀληθῆ ἐφάπτεται F. [2] που μεταςχεῖν, καθ' ὅσον οὖν ἀνθρωπίνῃ φ. F. ἀνθρωπίνη φύσις Plat. [3] ἀπολείπειν Plat. [4] δὴ F. [5] αὐτὸ F. [6] παντὶ παντὸς μία Platon. [7] Haec verba om. F. habet Nic. cf. Hipp. Epid. VI. p. 812. Lind.

ἀξιοῦμεν, [1] οὐ δήπου χωρὶς ὅρων καὶ μέτρων προσηκόντων ἐπὶ πλεῖστον ἐκτεταμένων τῶν γυμνασίων ὡς καταλῦσαι τὴν δύναμιν· οὕτω δὲ καὶ σιτίοις καὶ ποτοῖς καὶ ὕπνοις καὶ ἀφροδισίοις ἐν τῷ προσήκοντι μέτρῳ χρῆσθαι μήτ᾽ ἐλλείποντι μήτε πλεονάζοντι. αἱ μὲν γὰρ ὑπερβολαὶ καταλύουσί γε τὰς δυνάμεις, τὸ δ᾽ ἐλλιπὲς ἐν ἑκάστῳ κωλύει τοσοῦτον τῆς τελείας ὠφελείας, ὅσον αὐτὸ τῆς συμμετρίας ἀπολείπεται. παρήγγελτο δὲ τοῦτο ὑφ᾽ Ἱπποκράτους ἐφ᾽ ἑνὸς ὡς ἐπὶ παραδείγματος ἔνθα φησίν· ἐν [2] τοῖσι γυμναστικοῖσι ὅταν ἄρξηται διαπονέειν, τὸ διαναπαύειν εὐθὺ, ἄκοπον. καί πως ὁ λόγος ἤδη κατὰ τὴν οἰκειότητα τῶν πραγμάτων ἐδίδαξέ τι καὶ περὶ τῶν ἐκ τῆς ψυχῆς ἐθῶν ἐν μνήμαις καὶ διαλογισμοῖς καὶ ζητήσεσι λογικαῖς, ὧν καὶ αὐτὸς ὁ Ἐρασίστρατος ἐμνημόνευσεν ἐν τῷ περὶ τῶν ἐθῶν λόγῳ μὴ προσθεὶς τὴν αἰτίαν, καίτοι μὴ μόνον τοῦ Ἱπποκράτους, ἀλλὰ καὶ τοῦ Πλάτωνος εἰρηκότων αὐτήν. τὸ γὰρ ἐν τοῖς οἰκείοις τε καὶ συμμέτροις γυμνασίοις ἑκάστην τῶν δυνάμεων ἐνεργεῖν, εὐρωστίαν αὐτοῖς ἀποτελεῖ. αὗται μὲν οὖν εἰσιν αἱ διαφοραὶ τῶν ἐθῶν κατά γε τὴν τῶν ὑλῶν ἐν αἷς συνίστανται καὶ τὴν τῶν αἰτίων ὑφ᾽ ὧν γι-

---

[1] ὡς F. non utique. Nic. [2] πάσῃ κινήσει τοῦ σώματος Hipp. Aphor. II. 48.

γίγνονται δύναμιν. Ἐρασιστράτου δὲ καὶ τῶν κενώσεων ἐπιζητητικὸν γίγνεσθαι τὸ σῶμα φάντος, ἐπειδὰν ἐθισθῶσί τινες αὐταῖς, καὶ περὶ τούτων ἐπισκεπτέον. ἴσμεν γάρ τινας ἔκ τε ῥινῶν αἱμοῤῥαγοῦντας ἤτοι κατὰ περιόδους τινὰς ἰσοχρονίους ἢ ἀτάκτως ἢ δι' αἱμοῤῥοΐδων ἢ δι' ἐμέτων ἢ διαῤῥοίας [1] [ἢ χολέραις] ἁλισκομένους, ἐνίοτε δ' ἑκουσίως ἀποχέοντας αἵματος ἢ διὰ φλεβοτομίας ἢ δι' ἀμυχῶν τῶν ἐν σφυροῖς ἢ διὰ ῥινὸς ὥσπερ γε καὶ διὰ τῶν καθαιρόντων φαρμάκων, [2] ἐμετηρίων τε καὶ κατωτερικῶν, ὑπὲρ ὧν καὶ αὐτῶν ἐσκέφθαι τι χρήσιμον. ἐμοὶ γὰρ οὐ δοκεῖ τὰ σώματα δι' ἔθος δεῖσθαι τῶν τοιούτων κενώσεων, ἀλλὰ δι' ἣν αἰτίαν τῆς πρώτης ἐδεήθη κενώσεως, ἤτοι τῆς φύσεως ἐργασαμένης αὐτὴν ἤ τινος ἀνθρώπου κατὰ συλλογισμὸν ἰατρικὸν, οὕτω καὶ αὖθις καὶ πολλάκις χρήζειν τῶν αὐτῶν ἐπὶ τοῖς αὐτοῖς. ἔνιοι μὲν γὰρ ἐπὶ μοχθηραῖς διαίταις, ἔνιοι δὲ διὰ κατασκευὴν μοχθηρὰν τοῦ σώματος ἀθροίζοντες αἵματος πλῆθος ἢ κακοχυμίαν ὑπὸ τῶν εἰρημένων κενώσεων ὠφελοῦνται, τῆς φύσεως ἤ τινος ἰατροῦ τὸ περιττὸν ἀποχέοντος πρὶν νοσῆσαι τὸν ἄνθρωπον. ἐνίοις δὲ νοσήσασιν ἡ μὲν κρίσις ἐστὶ τοιαύτη ἔκκρισις, ἡ [3] δὲ τοῦ νοσήματος ἴασις

[1] ἢ χολέραις om. F. habet. Nic. [2] αἱμετηρίων F. [3] τε F.

ἐγένετο. τινὲς δ' ὑπὸ τῶν ἰατρῶν ἐθεραπεύθησαν ὁμοίοις βοηθήμασι χρησαμένων· εἶθ' ὕστερον ἁλόντες ὁμοίῳ νοσήματι, θεραπευθέντες τε δι' αὐτῶν, ἐάν ποτε πάλιν αὐτοῖς ἤτοι που τὸ τοῦ σώματος βάρος ἢ τῆς κεφαλῆς μόνης ἀνωμαλία τις ἢ καί τι τῶν παρὰ φύσιν ἕτερον ἐπιφαίνηται, κοινοῦνται τοῖς ἰατροῖς περὶ αὐτῶν, δεδιέναι φάσκοντες ἁλῶναι τοῖς αὐτοῖς νοσήμασιν, οἷς ἔμπροσθεν ἑάλωσαν ἐπὶ προηγησαμένοις ὁμοίοις συμπτώμασι· κἄπειτα φθάσαντες ἢ διὰ καθάρσεώς τινος ἢ δι' αἵματος ἀφαιρέσεως [1] ἐκθ' ὅλην τὴν προσδοκηθεῖσαν νόσον, ἑτοιμότερον ἐπὶ τὴν αὐτὴν ἀφικνοῦνται βοήθειαν, ὅταν αἴσθωνταί τινος ὁμοίου συμπτώματος ὕστερόν ποτε συμπεσόντος αὐτοῖς. ἔνιοι δὲ καὶ πρὶν αἰσθέσθαι, τὴν προθεσμίαν ὑφορώμενοι τοῦ χρόνου, καθ' ὃν ἐν ὡρισμένῃ περιόδῳ τῶν τοιούτων ἔπαθόν τι, κινοῦσθαι φθάνουσιν, ὀνομάζουσί τε τὴν προφυλακτικὴν κένωσιν ἐν ἔθει γεγονέναι σφίσιν, οὐδεμίαν ὑπαλλαγὴν τοῦ σώματος ἐκ τῶν τοιούτων κενώσεων λαμβάνοντος, ὁποίαν ἐδείχθη λαμβάνον ἐπὶ τοῖς προειρημένοις, ἀλλ' ὑπὸ τῆς αὐτῆς αἰτίας τὰ αὐτὰ πασχόντος. ἐὰν οὖν ὑπαλλάξωσι τὴν δίαιταν, ἐλάττοσι μὲν ἐδέσμασι χρώμενοι, [2] προστιθέντες δὲ

---

[1] ἐφ' F. Scripsi ἐθ'. [2] προστίθενται F. addentes Nic.

τοῖς γυμνασίοις, ἄνοσοι διατελοῦσιν ἐκ τῆς τῶν ἐθῶν ὑπαλλαγῆς ὠφεληθέντες, οὐχ ὥσπερ οἱ πρόσθεν εἰρημένοι βλαβέντες. οὐ γὰρ ἔθους λόγῳ διὰ τῶν κενώσεων ὠφελεῖσθαι συνέβαινεν αὐτοῖς, ἀλλ' ἐπὶ μοχθηρᾷ διαίτῃ κακοχυμίαν τε καὶ πλῆθος ἀθροίζουσιν.